ἤν τε καὶ ἐν τῇ νούσῳ γένηται καταμανθάνειν χρή. [57] Ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου πελιδνόν τε, καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε, καὶ ξηρόν. [58] Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκειν χρή. Ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπνευμονίῃσιν, ἢ ἐν φρενίτισι, καὶ ἐν κεφαλαλγίῃσι πρὸ τοῦ [59] προσώπου φερομένας (τὰς χεῖρας, καὶ ὡσανεὶ μυίας) καὶ θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογούσας, καὶ κροκίδας ἀπὸ τῶν [60] ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς, καὶ θανατώδεας. [61] Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, [62] πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. Μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. Ψυχρὸν δὲ ἐκπνεόμενον [63] ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν [64] εἰς σωτηρίην, ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασιν, ὁκόσα σὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. Οἱ [65] ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασιν, ὁκόσοι ἂν ἐν ἡμέρῃσί τε κρισίμοισι γίνονται, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάξωσι. [66] Ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, [67] ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νούσημα. Οἱ δ' [68] ἂν μὴ τουτέων τι ἐξεργάσωνται, οὐ λυσιτελέες. Κάκιστοι δὲ, οἱ ψυχροί [69] τε, καὶ μοῦνον περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸ πρόσωπον, καὶ τὸν [70] αὐχένα. Οὗτοι γὰρ, σὺν μὲν ὀξεῖ πυρετῷ, [71] θάνατον προσημαίνουσι, σὺν δὲ πρηϋτέρῳ, μῆκος νόσου. [72] Καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν. Οἱ δὲ κεγχροειδέες, καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι πονηροί. Οἱ δὲ μετὰ σταλαγμῶν, καὶ ἀτμίζοντες, ἀγαθοί. Κατανοεῖν δὲ χρὴ [73] τὸ σύνολον τῶν ἱδρώτων. Γίνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς. [74] Ὑποχόνδριον δὲ ἄριστον μέν ἐστιν εἰ ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ, καὶ ἐπ'

ulcere, vel ante morbum, vel in ipso morbo nato laboret. Nam si homo moriturus est, lividum, & siccum, aut pallidum & siccum ante mortem evadet. Cæterum de manuum gestibus hæc nosse oportet. Quoties in acuta febre, aut pulmonis inflammatione, aut insania, aut capitis dolore ægrū videris manus ante faciem attollere, & quasi muscas inani opera venari, & festucas carpere, atque floccos a vestibus, vel ab adjuncto pariete, si qua minuta eminent, evellere, ea omnia mala esse, & mortifera censendum. Porro autem spiritus frequens quidem dolorem, aut partis alicujus supra septum transversum inflammationem significat. Magnus vero, & longo tempore inspiratus, delirium nunciat. Quod si vero frigidus naribus, & ore exspiretur, id jam valde perniciosum est. Spirandi vero facilitatem existimare oportet, valde magnam vim ad salutem habere, in omnibus acutis morbis, quibus conjuncta febris est, quique diebus quadraginta judicantur. Sudores in omnibus acutis morbis optimi sunt, quum & diebus criticis proveniunt, & febrem prorsus auferunt.

18 Boni quoque, qui toto corpore manant, faciuntque ut homo facilius ferat morbum. Qui vero nihil eorum effecerint, haudquaquam commodi videntur. Pessimi autem sunt frigidi, & qui circa caput tantum, & faciem, & cervicem oriuntur. Isti enim cum febre quidem acuta mortem, cum mitiori vero morbi longitudinem denunciant. Similiter, & qui in toto corpore eodem, quo & in capite, modo proveniunt. At qui milii instar prodeunt, quique solo in collo emergunt, mali sunt. Boni vero, qui guttatim stillant, & vaporem tollunt. Cæterum universalem sudorum rationem novisse oportet. Fiunt enim aliqui propter corporum exolutionem, alii vero propter inflammationis vehementiam solent excitari. Optimum vero est, si hypochondria sine ullo sen-

Variæ Lectiones.

57 ἢν γὰρ ὁ ἄνθρωπος μέλλῃ ἀπόλλυσθαι, πρὸ τοῦ θανάτου ἢ πελιδνόν τε, καὶ ξηρὸν ἔσται, ἢ χλωρὸν Cod. Med. δεῖ pro χρὴ Codd. impressi. ἢ χλωρόν τε, καὶ ξηρόν quæd. MSt. legunt.

58 περὶ δὲ χειρῶν φορῆς τάδε χρὴ γινώσκειν, ὁκόσοις ἐν πυρετοῖς ὀξέσι, ἢ ἐν πλευρίτιδι, ἢ περιπνευμονίῃ. καὶ ἐν κεφαλαλγίῃσι abest in Cod. Med. post φρενίτισι ἢ ἐν πλευρίτιδι leg. Charter. ex antiquo Cod. περὶ δὲ χειρῶν φορῆς τάδε γινώσκειν Codd. impressi Merc. Heur.

59 προσώπου ὡς ἀντὶ φερομένας τὰς χεῖρας, καὶ μυίας θηρευούσας Cod. Med. προσώπου φερομένας, καὶ θηρευούσας διὰ κενῆς Cod. impressi.

60 ἱματίων ἀφαιρούσας, ἀπὸ τῶν τοίχων ἄχυρα ἀποτιλλούσας ταῦτα εἶναι κακὰ καὶ θανατώδεα Cod. Med. κρονίδας Codd. impressi pro κροκύδας.

61 περὶ ἀναπνοῆς Cod. Med. in margine.

62 πόνον σημαίνει, καὶ φλεγμονὴν idem.

63 ἐκ τε τῶν ῥινῶν, καὶ τοῦ Cod. Med.

64 εἰς σωτηρίαν ἐν πᾶσι τοῖσιν Cod. Med.

65 οἱ δὲ ἱδρῶτες legit Cod. Med. in margine περὶ ἱδρώτων.

66 ἀγαθοὶ δὲ οἱ. καὶ ὅσοι διὰ παντὸς ἀπαλλάττουσιν Cod. impressi. & τοιοῦτον.

67 ἀπεδείξαμεν Erotianus vitiose legit.

68 ἂν μὴ τουτέου τι ἐξεργάζονται Cod. Med. ἐργάσωνται Codd. impressi.

69 τε omittit Cod. Med.

70 καὶ τὸν αὐχένα γινόμενοι, καὶ θερμοὶ τυγχάνοιεν ὄντες idem legit.

71 Galen. innuit Dioscoridem hunc locum ita legisse: κάκιστοι δ' οἱ ψυχροὶ, καὶ μοῦνοι περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸν αὐχένα, οὗτοι γὰρ θάνατον σημαίνουσιν, ἢ μῆκος νόσου.

72 καὶ οἱ κατὰ πᾶν τὸ σῶμα usque ad φλεγμονῆς non leguntur in aliis Codd. ut Galen. adnotavit in Comment. τοῖσι περὶ τὴν κεφαλὴν καὶ τὸν αὐχένα γινόμενοι πονηροὶ Mercurialis in margine.

73 τὸ σύνολον εἶδος τῶν ἱδρώτων Cod. Med.

74 In margine περὶ τῶν ὑποχονδρίων Cod. Medic. ibidem δὲ ἄριστον μέν idem.

sensu doloris æqualiter mollia in utraq; parte sint. Sin autem phlegmone laborent, aut dolorem adferant, aut tensa sint, aut dextrum a sinistro varium, aut sinistrum a dextro, & inæquale, hæc omnia vitare oportet. Quod si in præcordiis pulsus insit, perturbationis, vel delirii indicium est. Verum oculos eorum intueri oportet. Si enim pupillæ sæpe moveantur, exspectanda insania.

CAPUT IV.

Tumorum in præcordiis, & in ventre prænotio, eorumdem diuturnorum suppurationes, quæ optimæ, quæ pessimæ. Item quod optimum est pus, quod deterrimum.

AT vero tumor in hypochondrio durus, & dolorificus, pessimum est, si totum hypochondrium occuparit. Sin autem alteram tantum partem pervaserit, periculi minus habet in sinistra. Verum tumores ejusmodi per initia quidem nati mortem brevi futuram significant. Si vero febris vigesimum diem superet, nec tumor interea considat, in suppurationem vertitur. Accidit autem his, in primo circuitu, etiam sanguinis e naribus profluvium, & plurimum confert. Interrogare vero oportet, an capite doleant, aut hebetes sentiant oculos; si quid enim eorum adsit, illuc fertur. Verum potius in junioribus, qui trigesimum quintum annum agunt, sanguinis profluvium expectandum. Tumores vero molles, & doloris expertes, quique digito, dum premuntur, cedunt, multo tardius judicantur, suntque minus quam illi, perniciosi. Quod si febris ultra sexagesimum diem detineat, & tumor interim non resideat, in suppurationem vertendum esse indicium est, nec eum quidem modo, sed illum similiter, qui in reliquo

ἀριστερά. [75] Φλεγμαίνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, ἢ ἀριστερὰ πάλιν πρὸς τὰ δεξιά, [76] ταῦτα πάντα φυλάσσεσθαι χρή. [77] Ἢν δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην. Ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιουτέων. Ἢν γὰρ [78] αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πρόγνωσις τῶν οἰδημάτων ἐν τῷ ὑποχονδρίῳ καὶ ἐν τῇ γαστρί. Τροπὴ εἰς διαπύησιν τῶν οἰδημάτων μὴ καθισαμένων. Διαπύησις πότε ἀρίστη, πότε κακίστη· τὸ πύον ἄριστον ἢ κάκιστον.

Οἴδημα [79] δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν, καὶ ἐπώδυνον, κάκιστον μὲν, [80] εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον. Εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερόν ἐστιν ἐν τῷ 403
ἐπ' ἀριστερά. Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν, κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι. Ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, [81] ἐς διαπύησιν τρέπεται. Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ [82] αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει· [83] ἀλλ' ἐπανερωτᾶν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωποῦσιν· ἢν γάρ τι [84] τουτέων εἴη, ἐν ταῦθα ἂν ῥέποι. [85] Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε, καὶ τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ῥῆξιν [86] χρὴ προσδέχεσθαι. [87] Τὰ δὲ μαλθακὰ τῶν οἰδη-
19 μάτων, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα, καὶ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν. [88] Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ
20 καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει, καὶ τοῦτο, [89] καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τ' αὐτό. Ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι, καὶ

VARIÆ LECTIONES.

75 φλεγμαῖνον δὲ καὶ ὀδύνην παρέχον sublato ἢ idem. deinde διακείμενα legunt impressi Codd. & ἢ ἀριστερὰ πάλιν πρὸς τὰ δεξιά Cod. Med.

76 ταῦτα πάντα omittit Cod. Med. & loco φυλάσσεσθαι φυλάττεσθαι scribit.

77 εἰ δὲ καὶ σφυγμὸς ἔνι ἐν τῷ ὑποχονδρίῳ Cod. Med. pro σφυγμὸς παλμὸς quosdam legere Galen. in Comment. monet. verum prior lectio probabilior esse videtur.

78 ὄψιες πυκνὰ κινέωνται τραπῆναι τουτέων ἐλπίς Cod. Med.

79 E regione in margine περὶ τῶν οἰδημάτων. Cod. Med.

80 εἰ περὶ πᾶν εἴη τῷ ὑποχονδρίῳ, εἰ δὲ τῷ εἴη ἐν τῷ ἑτέρῳ μέρει, τῷ δεξιῷ ἢ ἑκατέροισιν, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά & in margine ἢν δὲ τῷ ἀριστερῷ ἐὸν ἧττον κακόν Cod. Med. & loco μέρει ponit Mercurialis in margine πλευρῷ & paulo post θάνατον ὀλιγοχρόνιον Cod. impres.

81 ἐς διαπύησιν τρέπεσθαι σημαίνει Cod. Med.

82 αἵματος ῥῆξις διὰ τῶν ῥινῶν. idem.

83 ἀλλ' ἐπανέρεσθαι χρή idem.

84 ἢν γάρ τι τουτέων εἴη. ἐνταῦθα, idem.

85 μᾶλλον δὲ χρὴ τοῖσιν νεωτέροισιν idem.

86 ῥῆξιν χρὴ προσδέχεσθαι deest. χρὴ in Codd. Med. sequentia vero τοῖσδε γεραιτέροις ἐκπύησιν in Codd. impressis non inveniuntur. δὲ ἄριστον μέν ἐστι εἰ ἀνώδυνον Cod. Med. leg. ibid.

87 τὰ δὲ ἄλλα μαλθακὰ πιεζόμενα καὶ, absunt hæc, eademque vero habentur infra. ὑπείκοντα habent Codd. quidam tum scripti tum publicati. Sed libello περὶ κρισίων ubi hæc repetuntur, ἀνώδυνα καὶ ὑπείκοντα ὑπὸ θιγγάνης legitur. πιεζόμενα καὶ Mercur. & Vet. Codd. cum Cod. M.

88 ἢν δὲ ὑπερβάλλῃ τὰς ἑξήκοντα ἡμέρας, Cod. Med.

89 καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τ' αὐτό. legunt omnia publicata exemplaria. Verum MS. quædam habent καὶ τοῦτο, καὶ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τ' αὐτὸ hoc sensu: idque in reliquo ventre ad eundem se habet modum, quod certe magis accedit ad libellum περὶ κρισίων, ubi hoc modo scribitur ὡσαύτως δὲ ἔχει καὶ περὶ τῶν ἐν τῇ ἄλλῃ κοιλίῃ φυμάτων. Hic vero quod legitur καὶ τὸ οἴδημα μὴ καθίσταται, μὴ καθιστάμενον leg. Vatic. exempl. & pro ὀλιγοχρόνιον, ὀλιγοχρονίου. Quas varias lectiones si quis videre amat, adeat Mer. qui omnes diligentissime ex membranis Vatic. excerpsit.

καὶ σκληρὰ (οἰδήματα) καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου 90 ὀλιγοχρονίου ἔσεσθαι. ὁκόσα δὲ μαλθακά τε, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων. 91 Τὰς δὲ ἀποστάσιας, ἧσσον 92 τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν. Ἥκιστα δὲ τὰ ὑπὸ κάτω τοῦ 93 ὀμφαλοῦ ἐς ἀποπύησιν τρέπεται. Αἵματος δὲ ῥῆξιν μάλιστα τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή. Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων τῶν περὶ ταῦτα τὰ χωρία, 94 ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. 95 Τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν. Ὁκόσα μὲν ἔξω τρέπεται ἄριστά ἐστιν, μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, 96 καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. Τὰ δὲ μεγάλα τε ἐόντα, καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα. Ὁκόσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἐστι προσεσταλμένα τε, καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται. 97 Τὸ δὲ πῦον ἄριστον, λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. Τὸ δὲ ἐναντιώτατον 98 τουτέου, κάκιστον.

ventre constiterit. Itaque qui tumores dolorem cient, & duri magnique sunt, mortis periculum haud longe abesse significant. Qui vero molles sunt, & expertes doloris, & digito compressi cedunt, illis diuturniores sunt. Qui vero ventrem occupant tumores, non tam abscessus faciunt, quam qui in præcordiis. Minime vero omnium, qui sub umbilico sunt, in suppurationem vertuntur. Sed sanguinis profluvium e supernis partibus maxime expectare oportet. Omnium autem tumorum, qui diutius istis in partibus manserint, suppurationes contemplari oportet. Porro suppurationes, quæ ab ipsis prodeunt, expendere oportet hoc modo. Quæ foras quidẽ abscedunt, tum quæ parvæ sunt, & permultum prominent, atque in acutum attolluntur, optimæ sunt. Magnæ vero, & latæ, nec in acutum fastigiatæ, pessimæ. Quæ vero interius rumpuntur, optimæ quidem illæ sunt, quibus cum externo spatio non communicatio est. Sunt autẽ eæ contractæ, & doloris expertes, totaq; loci facies exterior concolor apparet. Est autẽ pus optimum, quod album, æquale, leveque est, & minime fœtidum; quod autem e contrario se habet, deterrimum est.

SECTIO II.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων γενόμενοι, πάντες κακοί. Δίσσαι τῶν ὑδρώπων ἀρχαὶ καὶ αὐτῶν σημεῖα, καὶ ἅμα ἐν αὐτοῖς σωτήρια καὶ ὀλέθρια τεκμήρια.



Οἱ 99 δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νουσημάτων πάντες κακοί. Οὔτε γὰρ τοῦ πυρὸς 100 ἀπαλλάσσουσιν, ἐπώδυνοί τέ εἰσι κάρτα, καὶ θανατώδεες. Ἄρχονται δὲ οἱ 101 πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

CAPUT V.

Aquæ inter cutem ex morbis acutis omnes malæ: duplex earundem genesis, & bujus utriusque signa. Prognostica in dictis hydropibus periculosiora & salutaria.



HYDROPES ex acutis morbis omnes mali; neque enim febrem solvunt, & cum dolore sunt vehementi, ac lethales. Incipiunt autem plurimi ab ilibus, & lumbis; quidam vero a jecore. Quibus ergo ab ilibus

Variæ Lectiones.

90 pro ὀλιγοχρονίου ἔσεσθαι, ὀλιγοχρόνιον Codd impressi. τὰ καὶ ἀνώδυνά ἐστι τὰ οἰδήματα καὶ τῷ δακτύλῳ πιεζόμενα legit Cod. Med.
91 pro ἐκείνων scriptum est ibid. ἔσεσθαι σημαίνει. ibid. & αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι Codd. impressi.
92 τὰ ἐν γαστρὶ sublato τῇ Cod. Med.
93 ὀμφαλοῦ ἐς ὑποπύησιν idem & itidem αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι legunt editi Codd. quam lectionem notat Galen. in Comment.
94 ἐπισκέπτεσθαι idem. ἐμπυήσιας melius in Cod. Ald. legitur.
95 τὰ δὲ ἐμπυήματα. ὁκόσα μὲν αὐτέων ἔξω τρέπεται. Cod. Med.
96 καὶ ἐς ὀξὺ ἀποκορυφούμενα idem. καὶ ἥκιστα ἐς ὀξὺ συνεσταλμένα, κάκιστα. idem.
97 τὸ δὲ πύον τὸ ἄριστον λευκόν τε ἐὸν καὶ ὁμαλόν. Cod. Med.
98 ἐναντίον pro ἐναντιώτατον Cod. impressi τουτέῳ κάκιστον & in margine e regione περὶ πύου. Cod. Med.
99 περὶ ὕδρωπος vel ὑδρώπων scribit Cod. Medic. in margine.
100 ἀπαλλάσσουσι καὶ ἐπώδυνοι idem.
101 πλεῖστοι μὲν ἐκ τῶν κενεώνων idem.

bus & lumbis principia fiunt, iis pedes tument, & diarrhϾ diuturnæ detinent, quæ neque dolores ex ilibus ac lumbis obortos solvunt, neque ventrem molliunt. Quibus vero ab hepate hydropes fiunt, tussis, & tussiendi cupiditas ipsis innascitur, nihilque effatu dignum expuunt, ac pedes tument, venterque non dejicit, nisi & dura & ad necessitatem, & circa ventrem tumores prodeunt, qui partim ad dextram, partim ad sinistrā partem tum consistunt, tum desinunt. Quod si caput, & manus pedesque frigeant, ventre & lateribus calentibus, malum. Optimum vero totum corpus calidum, & molle æqualiter esse. Oportet autem eum, qui laborat, facile converti, & in assurgendo levem esse. Sin autem tum reliquum corpus, tum manus, pedesque graves esse videantur, majus periculum est. Mors confestim expectanda vero est, si præter gravitatem ungues digitique lividi evaserint. Pedes autem, digitique penitus nigri minus perniciosi sunt lividis. Sed & alia signa considerare convenit. Nam si æger malum leviter ferre videatur, atque signum aliquod salubre præterea se ostendet, morbum in abscessum versum iri spes est, ex quo homo quidem incolumis evadet, partes autem corporis, quæ nigredinem contraxere, decident. Testes, & pudenda retracta, vehementes dolores & mortis periculum significant.

[102] Οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀ-
σφύος αἱ ἀρχαὶ γίνονται, οἵ τε [103] πόδες οἰ-
δέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι ἔχουσιν, οὔτε
τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε, καὶ
τῆς ὀσφύος, οὔτε τὴν [104] γαστέρα λαπάσσουσαι.
Ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος [105] οἱ ὕδρωπες γί-
23 νονται, [106] βῆχές τε, καὶ [107] θυμὸς ἐγγίνε-
ται αὐτέοισι, καὶ οὐδὲν τι ἀποπτύουσιν ἄξιον
λόγου, [108] καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ
οὐ διαχωρέει, εἰ μὴ σκληρόν τε καὶ πρὸς ἀνάγ-
κην, καὶ περὶ τὴν κοιλίην γίνεται οἰδήματα, τὰ
24 μὲν ἐπὶ δεξιὰ, τὰ δὲ ἐπ' ἀριστερὰ, ἱστάμενά τε,
καὶ καταπαυόμενα. Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες
ψυχρὰ ἐόντα, κακὸν, τῆς τε κοιλίης, καὶ τῶν
πλευρῶν θερμῶν ἐόντων. Ἄριστον δὲ καὶ ἅπαν τὸ
σῶμα [109] θερμόν τε εἶναι, καὶ μαλθακὸν ὁμα-
λῶς. [110] Στρέφεσθαι δὲ χρὴ [111] ῥηϊδίως τὸν ἀλ-
γέοντα, καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν
εἶναι. [112] Εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο καὶ τό τε ἄλλο
σῶμα, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, ἐπικινδυνώ-
τερόν ἐστιν. [113] Εἰ δὲ καὶ πρὸς τῷ βάρει οἱ ὄνυχες καὶ
οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος [114]
ὁ θάνατος παραυτίκα. Μελαινόμενοι δὲ παντε-
λῶς [115] οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέ-
θριοι [116] τῶν πελιδνῶν εἰσιν. Ἀλλὰ καὶ τὰ ἄλ-
λα σημεῖα σκέπτεσθαι χρή. Ἢν γὰρ εὐπε-
τέως φέρων φαίνηται τὸ κακὸν, ἢ καὶ ἄλλό τι
τῶν περιεστηκότων σημείων πρὸς [117] τουτέοισι
τοῖσι σημείοισιν ὑποδεικνύει, τὸ νούσημα ἐς
ἀπόστασιν [118] τρέπεσθαι ἐλπὶς· ὥστε τὸν μὲν ἄν-
θρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ
σώματος ἀποπεσεῖν. Ὄρχιες δὲ [119], καὶ αἰ-
δοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει,
καὶ κίνδυνον θανατώδεα.

CAPUT VI.

Somni apud ægros, qui boni, qui deteriores: non dormire neque noctu, neque interdiu cur pessimum. De ejectionum modo, qualitate, quantitate, & tempore, & quando has inspissari oportet, & quales.

Quod autem somnum attinet eodem modo, quo per naturam consuevi-

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ ὕπνων τῶν νοσούντων, τίνες ἀγαθοὶ, τίνες κακοί: τὴν ἡμέραν καὶ τὴν νύκτα μὴ καθεύδειν διὰ τί κάκιστον. Περὶ διαχωρημάτων τρόπου κατὰ τὸ πλῆθος, τὴν ποιότητα, τὸν χρόνον, καὶ πότε αὐτὰ παχύνεσθαι χρὴ, καὶ ποῖα.

Περὶ [120] δὲ ὕπνων, ὥσπερ καὶ κατὰ φύσιν σύνηθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρη-
γο-

VARIÆ LECTIONES.

102 ὁκόσοισι μὲν οὖν Med. Cod. & Gal.
103 πόδες ὁ δαίνουσι καὶ αἱ διάῤῥοιαι πολὺν χρόνον ἔχουσιν. idem. Cæterum hic notandum est Galen. legisse post γίνονται τῶν ὑδρώπων. id est. hydropis principia fiunt.
104 γαστέρα ἀπαλλάσσουσι Cod. Med.
105 οἱ ὕδρωπες εἰσί idem.
106 βῆξαί τε ex Manuscriptis legit Servin. βὴξ vero legit in margine Mercurial. & Heurn.
107 θυμὸς τούτοισιν ἐγγίνεται Codd. quidam legunt.
108 καὶ οἱ πόδες οἰδαίνουσι Cod. Med.
109 θερμόν τε εἶναι καὶ ὁμαλόν. Cod. Medic. legit. θερμόν τε ἐὸν καὶ μαλθακόν. Codd. impressi.
110 στρέφεσθαι δὲ χρή. abest χρή in Codice Mediceo.
111 ῥηϊδίως τὸν νοσέοντα. idem. ἀλγέοντα Codd. impressi.
112 ἢν γὰρ βαρὺς ἐών. τό τε ὅλον σῶμα. idem. καὶ τὸ ἄλλο σῶμα Codd. quidam.
113 ἢν δὲ καὶ πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιοὶ γίνοιντο. Codex Medic.
114 θάνατος αὐτίκα, Galen. αὐτίκα, abest in Cod. Med.
115 δάκτυλοι ἢ οἱ πόδες. idem.
116 τῶν πελιῶν. & εἰσὶν quod sequitur, abest in Codice Mediceo.
117 τουτέοισι σημείοισιν, idem. ut in Aldino, ἐπιδεικνύει τὸ νούσημα. περιεστηκότων σημείων, σημείων abest in Codd. impressis.
118 τρέπεσθαι. ἐλπὶς abest in Cod. Med. ὥστε τὸν μὲν ἄνθρωπον Codd. impressi.
119 καὶ αἰδοῖον ἀνεσπασμένον πόνον σημαίνει καὶ θάνατον, sublatis κίνδυνον θανατώδεα. idem.
120 περὶ δὲ ὕπνου ὥσπερ. ἡμῖν ἐστι ξύνηθες, & in margine e regione περὶ τῶν ὕπνων. idem.

γορέναι χρὴ, [121] τὴν δὲ νύκτα, καθεύδειν. Ἢν δὲ εἴη τῦτο μεταϐεϐλημένον, κάκιον. Ἥκιςα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. Οἱ δ' ἀπὸ τουτέου τῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι. Κάκιςον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, [122] μήτε τῆς ἡμέρης· ἢ γὰρ ὑπὸ ὀδύνης τε, καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔςαι ἀπὸ τουτέου τῦ σημείου. [123] Διαχώρημα δὲ ἄριςόν ἐςι, τὸ μαλθακόν τε καὶ συνεςηκὸς, καὶ τὴν ὥρην, ἥν περ καὶ ὑγιαίνονται ὑπεχώρει, πλῆθος δὲ, πρὸς λόγον τῶν εἰσιόντων. Τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. 25 Ἢν δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, [124] συμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι· καὶ κατ' [125] ὀλίγον ὑποχωρέειν. Κοπιῇ γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναςάσιως, καὶ ἀγρυπνοίη ἄν. Εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. Ἀλλὰ χρὴ, κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, δὶς ὑποχωρέειν ἢ τρὶς τῆς ἡμέρης, καὶ τῆς νυκτὸς [126] ἅπαξ. 26 Πλεῖςον δ' ἐπὶ τὸ πρωῒ, ὥσπερ κατὰ φύσιν σύνηθές ἐςι τῷ ἀνθρώπῳ. 404 Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσυ. Ὑπόπυῤῥον δὲ ἔςω, καὶ μὴ [127] λίην δυσῶδες.

mus, interdiu quidem vigilandum, noctu vero dormiendum. Quod si contra fiat, malum est. Verum minus incommodi attulerit, qui matutino tempore ad tertiam diei partem, deterior autem, qui ab eo tempore invadit. Pessimum autem, si neque noctu, neque interdiu dormiat: vel enim a dolore, laboreque vigilia oritur, aut delirii futuri nota est. Alui excrementum optimum est, si molle, concretum dejiciatur, eodem fere tempore, quo secunda valetudine assuevit, modoque conveniens his, quæ assumuntur. Talis enim dejectio inferiorem ventrem valere ostendit. Verum si alui excrementum liquidum est, id nec stridere, nec crebro, paulatim excerni expedit. Fessus enim homo ex continua exurrectione succumbens insomnis fit; si vero affatim sæpe dejiciat, defectus animi periculum est. Sed oportet pro assumptorum copia, aut bis, aut ter interdiu dejicere, & noctu semel. Sed mane plurimum, ut naturalis homini consuetudo est. Crassiorem autem fieri dejectionem oportet procedente ad crisin morbo. Sit etiam subfulva, neque admodum graveolens.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἕλμινθας διεξιέναι μετὰ τοῦ διαχωρήματος πότε ἐπιτήδειον· ποῖος τῆς κοιλίας τρόπος ἐν παντὶ τῷ νοσήματι ἀγαθός. Τὰ σημεῖα τῶν διαχωρημάτων πονηρῶν, καὶ θανατωδεςέρων, καὶ ποικίλων. Περὶ φύσης ἄνευ ψόφου, καὶ σὺν ψόφῳ διελθούσης. Περὶ τῶν πόνων καὶ κυρτωμάτων τῶν ἐξ ὑποχονδρίων, οὓς λύει ὁ βορβορυγμὸς ἐν τῷ ὑποχονδρίῳ ἐγγενόμενος

CAPUT VII.

Lumbricos quando commodum est egerere: ventris habitus, qui probus. Dejectionum malarum & magis letbalium, prout & variarum signa. De flatu sine sono prodeunte: de præcordiorum doloribus & tumoribus, quos murmur in iisdem, obortus solvit.

27 Ἐπιτήδειον δὲ καὶ ἕλμινθας ςρογγύλας διεξιέναι μετὰ τῦ διαχωρήματος, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου. [128] Δεῖ δὲ ἐν παντὶ τῷ νουσήματι λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον. Ὑδαρὲς δὲ [129] κάρτα, ἢ λευκὸν, ἢ

Sed & lumbricos teretes morbo judicium subeunte, una cum excrementis prodire, utile fuerit. In omni autem morbo ventrem mollem esse, & proba mole donatum oportet. At valde aquosum, aut

Variæ Lectiones.

121 τὴν δέ γε νύκτα, & pro κάκιον, habetur κακὸν γίνεται, in Cod. Med.

122 μήτε τῆς ἡμέρης, τῆς abest in Cod. Medic. ἢ γὰρ ὑπὸ ὀδύνης τε, καὶ πόνου ἀγρυπνίη, παραφροσύνη ἔςαι ἀπὸ τουτέου τοῦ νοσήματος, sublato ἢ quod est ante παραφροσύνη. ἀγρυπνοίη ἄν. Imperial. Cornar. εἰ γὰρ Serv. Ald. Exempl. Mercur. & Heurn. loco παραφροσύνη in margine legunt παραφρονέοντι.

123 περὶ τῶν διαχωρημάτων, in margine e regione habet Cod. Medic.

124 ξυμφέρει μήτε τρύζειν. idem. Quibusdam etiam ςρύζειν scribi asseverat Erot. quod & in Comment. adscribit Galen. τε pro τι Imper. Cornar.

125 ὀλίγον διαχωρέειν. κοπιᾷ γὰρ Aldus. ὁ ἄνθρωπος ἀπὸ τῆς ξυνεχέος ἀναςάσιος ἀγρυπνέει ἄν. ἢν δὲ ἀθρόως πολλάκις διαχωρέῃ κίνδυνος λειποθυμῆσαι Cod. Med. Mercurialis legit κοπιῇ γὰρ ἄνθρωπος.

126 ἅπαξ τὸ πλεῖον δ' ἐπὶ τῷ πρωῒ ὥσπερ καὶ συνηθὲς ᾖ τῷ ἀνθρώπῳ. idem. Vulgata exempl. πλείονα δ' ἐπὶ τῷ πρωῒ, legunt. quædam autem πλεῖςον δ' ὑπαίτιον τῷ πρωῒ quam lectionem videtur agnoscere Galenus, qui & πλέον ὑπὸ τὸ πρωῒ, in Comment. adscribit. Mercurial. vero cum Heur. in margine legit πλεῖςον δ' ὑπείτω vel πλέον δὲ ὑπίτω.

127 λίαν δυσῶδες, Cod. Medic.

128 Δεῖ δὲ ἐν ἅπαντι νουσήματι, sublato τῷ λαπαρήν τε τὴν κοιλίην. idem.

129 κάρτα καὶ λευκόν. ἐρυθρὸν non legit Galenus, quod deletum in antiquo Codice. ὑποχωρέειν.

aut album, aut ex viridi pallidum, aut vehementer rubrum, aut ſpumans dejicere, mala hæc omnia. Sed malum quoque eſt, & exiguum & glutinoſum, & album, & ſubpallidum, & leve. His autem alvi excrementis magis lethalia ferint nigra, aut pinguia, aut livida, aut æruginoſa, aut fœtida. Ubi vero varia excrementa rejiciuntur, longioris quidem morbi notæ ſunt, nec tamen minus habent periculi. Sunt autem ea ſtrigmentoſa, & biliosa (& ſanguinea) & porracea, & nigra, modo ſimul inter ſe mixta, modo per vices prodeuntia. Optimum autem eſt flatum absque ſono & crepitu exire; ſed eum tamen præſtat cum ſono prodire, quam ibi revolvi. Et ſic quidem prodiens hominem vel dolore affligi, vel delirare arguit, niſi ipſe fortaſſis de induſtria crepitum emittat. Dolores, tumoreſque præcordiorum, qui recentes ſunt, & ſine inflamatione, ſonus in præcordiis excitatus diſſolvit, magisque, ſi cum ſtercore, & urina, & flatu exceſſit; ſin autem ipſe non exceſſerit; at prodeſt tamen ad inferiores partes evolutus.

CAPUT VIII.

Urinarum in morbis conſideratio, & ex illis prognoſticon: Pinguedinis urinæ ſupernatantis, & nubecularum in eadem apparentium dijudicatio. Vomitus, qui bonus, qui malus.

OPtima autem urina eſt, in qua per totum morbi curriculum donec ipſe judicatus ſit, ſubſidet album, leve & æquale. Securitatem enim, & brevitatem morbi pollicetur. Si vero intermittat & modo liquida, & pura eſt, modo habet quædam ſubſidentia alba, atque levia, morbus longior erit, & minus ſecurus. At ſi fuerit & urina ſubrubra & ſedimentum ejus ſimile ſubrubrum & leve, hæc quidem diuturnior priore fit, ſed admodum ſalutaris. Malum vero ſi urinarum ſedimenta tan-

χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες [130] διαχωρέειν, πονηρὰ ταῦτα πάντα. Ἔτι δὲ [131] πονηρὸν καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον. Τουτέων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, ἢ κάκοσμα. Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. Ἔστι δὲ τὰ τοιαῦτα [132] ξυσματώδεα, καὶ χολώδεα (καὶ αἱματώδεα) καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ [133] κατὰ μέρος. [134] Φῦσαν δὲ, ἄνευ ψόφου, καὶ περδήσιος διεξιέναι ἄριστόν ἐστι. Κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν,
28 ἢ αὐτοῦ ἀνειλέεσθαι· καὶ οὕτω διελθοῦσα, σημαίνει, ἢ πονέειν τὶ τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται. [135] Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τὲ, καὶ τὰ κυρτώματα, ἢν ᾖ νεαρὰ, καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ· καὶ μάλιστα μὲν διεξιὼν σὺν κόπρῳ τὲ, καὶ [136]
29 οὔρῳ καὶ φύσῃ. Εἰ δὲ μὴ," καὶ αὐτὸς [137] διαπεραιωθεὶς· ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τῶν οὔρων ἐν νόσοις σκέψις, καὶ ἐξ ἐκείνων προγνώσις περὶ λιπαρότητος ἄνω ἐφισαμένης, καὶ νεφελῶν τοῖς οὔροις ἐναιωρουμενῶν διάκρισις. Ὁ ἔμετος ὠφέλιμος καὶ πονηρός.

ΤΟ δὲ οὖρον [138] ἄριστόν ἐστιν, ὅταν λευκή τε εἴη ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος. Σημαίνει γὰρ ἀσφάλειάν τε, [139] καὶ νούσημα ὀλιγοχρόνιον ἔσεσθαι. [140] Εἰ δὲ διαλείποι, καὶ ποτε μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν, [141] καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής. [142] Εἰ δὲ εἴη τό, τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, ὑπέρυθρη τὲ, καὶ λείη, [143] πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα. [144] Κριμνώδεες δ' ἐν τοῖσιν οὔροισιν

VARIÆ LECTIONES.

130 ὑποχωρέειν. idem,
131 πονηρὸν δὲ, καὶ γλίσχρον, καὶ μικρὸν, καὶ λεῖον, καὶ ὑπόχλωρον. idem.
132 ξυσματώδεά τε, καὶ αἱματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα. in quibusdam Exempl. αἱματώδεα & χολώδεα, obliterantur. idem.
133 καὶ inſeritur a Godice Mediceo.
134 φῦσαν δὲ, abeſt δὲ & μὲν in Cod. Medic. quoque, καὶ καρδίανος ὑπὸ ξιέναι ἄριστόν ἐστι. κρέσσον δὲ καὶ σὺν ψόφῳ διεξελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι, καὶ alias ἢ αὐτοῦ ἐναπολειφθῆναι. καὶ τοὶ καὶ οὕτω συνεξελθοῦσα σημαίνει πονέειν τι τὸν ἄνθρωπον, id. legit. Mercur. vero & Heurn. ſcribunt in margine loco ἀνειλέεσθαι, ἐναπολῆφθαι & ſtatim poſt καὶ ἔτι.
135 τοὺς δὲ τῶν ὑποχονδρίων πόνους καὶ κυρτώματα νεαρὰ ἤν τε καὶ μὴ ξὺν φλεγμονῇ λύει βορβορυγμὸς ἐπεγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. Cod. Med.
136 οὔρῳ καὶ φύσῃ. Cod. Med.
137 Ita Galenus legi mavult, verum exemplaria MSta paulo aliter hunc locum legunt.
138 ἄριστόν μέν ἐστιν ὅταν λευκή τε εἴη ἡ ὑπόστασις ἢ καὶ λείη & in margine περὶ τῶν οὔρων. leg. Cod. Medic.
139 καὶ τὸ νούσημα. idem,
140 εἰ δὲ μὴ διαλείποι, idem.
141 τε, addit idem.
142 ἢν δε ᾖ τὸ μὲν οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις, αὐτέου ὁμοίη, καὶ λείη. Codd. quidam leg.
143 πολυχρονιώτερον μὲν τοῦτο, τοῦ πρώτου (προτέρου τυγχάνει φαίνεται) γίνεται.
144 κριμνώδεες δὲ ἐν τοῖσιν αἱ ὑποστάσιες πονηραὶ, τουτέων δὲ ἐπὶ κακίους αἱ πλατώδεες. Deficiunt in veteri, quæ ſequuntur λεπταὶ δὲ, usque ad πιτυρώδεες.

σιν ὑποστάσιες πονηραὶ, τουτέων δὲ εἰσι κακίους αἱ πεταλώδεες. Λεπταὶ δὲ, καὶ λευκαὶ κάρτα φλαῦραι· τουτέων δ' ἔτι κακίους εἰσὶν αἱ πιτυρώδεες. " Νεφέλαι δὲ [145] ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαὶ, μέλαιναι δὲ φλαῦραι. " [146] Ἐς' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον, καὶ λεπτὸν, σημαίνει τὸ νούσημα ἄπεπτον εἶναι. " Ἢν δὲ καὶ πολυχρόνιον εἴη τὸ νούσημα, τὸ δὲ [147] οὖρον τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, " ἔς' ἂν πεπανθῇ τὸ οὖρον. ' Θανατωδέστερα δὲ [148] τῶν οὔρων, τά τε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα. Ἔτι δὲ [149] τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων, κάκιστα· τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα. " Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ [150] ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἢν τἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. Καὶ τὰς λιπαρότητας δὲ τὰς " [151] ἄνω ἐφισαμένας ἀραχνοειδέας μέμφεσθαι· ξυντήξιος ' γὰρ [152] σημεῖα. Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, [153] ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι· καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. Καὶ τὰς μὲν κάτω φερομένας σὺν τοῖσι [154] χρώμασιν οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν, καὶ ἐπαινέειν· τὰς δὲ ἄνω σὺν τοῖσι [155] χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιαύτας. Μὴ ἐξαπατάτω δὲ σε, ἤν γε ἡ κύστις τι νούσημα [156] ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ· οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτῆς. ' [157] Ἔμετος δὲ ὠφελιμώτατος, " ὁ φλέγματός τε, καὶ χολῆς συμμεμιγμένος, ὡς μάλιστα, καὶ μὴ παχὺς κάρτα, [158] μήτε πολὺς ἐμείσθω. Οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν. [159] Εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πέλιον, ἢ μέλαν, ὅ, τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι. [160] Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ ωὐτὸς ἄνθρωπος ἐμέει, κάρτα ὀλέθριον ἤδη γίνεται. Τάχιστα γὰρ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμεσμάτων, [161] εἰ ὄζοι δυσῶδες. Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ ' δυσώδεες ὀσμαὶ, κακαὶ [162] ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.

quam farinam crassiorem repræsentent, pejus autem si quasi bracteolas. Tenuia quoque, atque alba sunt admodum vitio-
30 sa ; omnium autem pessimum, si quod subsidet, furfuraceum est. Nubes vero, quæ
31 in urinis efferuntur, albæ quidem bonæ, nigræ vero malæ sunt. Quoad autem
32 urina fulva fuerit, & tenuis, crudum esse morbum significat. Si vero & morbus
33 longus sit, & urina talis, periculum est, ne sufficere homo non possit, quoad concocta sit urina. At magis lethales sunt urinæ foetidæ, & aquosæ, & nigræ, & crassæ. Sunt autem viris quidem & mulieri-
34 bus urinæ nigræ deterrimæ; pueris vero aquosæ. Qui urinas tenues & crudas meiunt multo tempore, si reliqua signa salutaria sint, his abscessum ad loca infra
35 septum transversum expectare oportet. Quin pinguedines supra innatantes araneosæ, improbandæ; colliquationis enim signa sunt. Spectare autem oportet urinarum nubeculas sursumne, an deorsum ferantur, & quales hæ habeant colores; & quæ deorsum cum iis, qui dicti sunt, coloribus feruntur, eas esse bonas censere, ac laudare; quæ vero sursum cum dictis coloribus, eas pravas esse, talesque improbare decet. Ne vero te fallat, si vesica aliquo morbo laborans hujusmodi urinas reddat; non enim totius corporis, sed ipsius per se indicium est. Vomitus autem uti-
36 lissimus bile & pituita quam maxime permixtus, neque admodum crassus, neque multus vomatur. Sinceriores enim deteriores sunt. Si vero quod vomitur porraceum, aut lividum, aut nigrum fuerit, quisquis horum colorum fuerit, eum malum esse existimare oportet. Si vero omnes idem homo colores vomat, id admodum exitiale jam est. Celerrimam autem mortem prodit vomitio livida, si graviter oleat. Omnes autem supputridi, fœdique odores in omni vomitu mali sunt.

VARIÆ LECTIONES.

145 Hanc lectionem publicatam & Galeno contestatam sequuti sumus, quamquam membranæ quædam Reg. MSt. ἐναιωρεύμεναι pro ἐμφερόμεναι legunt, quam lectionem adnotare operæ pretium duxit Foes. quod eam assecutus sit vetus interpres, cum nebulam pendentem in urina dixit. Mercurialis autem cum Heurn. legit pro ἐμφερόμεναι, ἐναιωρεύμεναι in margine.

146 ἐς' ἂν δὲ λεπτὸν καὶ πυῤῥὸν ᾖ τὸ οὖρον, σημαίνει τὸ νούσημα. Cod. Med. & pro πυῤῥὸν Merc. & Heur. in marg. ὑπόπυῤῥον.

147 οὖρον τοιοῦτον ἐὸν κίνδυνος μὴ, ἂν γὰρ δυνήσεται διαρκέσαι ὁ ἄνθρωπος, ad finem sententiæ τὸ οὖρον vel ἡ νοῦσος Cod. Med. & paulo infra post πεπανθῇ Heurn. & Mercurialis in margine addunt τὸ νόσημα, τὸ τε οὖρον.

148 τῶν οὔρων ἐστὶ τάτε ὑδατώδεα καὶ δυσώδεα. Cod. Med.

149 τοῖσι μὲν ἀνδράσι, abest μὲν, τάτε μέλανα. idem.

150 ὠμὰ οὐρέουσι ἢν καὶ τ' ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ ἐν τουτέοισιν ἀπόστασιν, τὰ κάτω χωρία τῶν φρενῶν vel τῶν νεφρῶν. idem.

151 τὰς ἄνω (κάτω) ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι legit Cod. Medic. pro μέμφεσθαι, ἐπισημαίνεσθαι legit Galen. ἐφισαμένας, Codd. publicat.

152 ξυντήξιος γὰρ σημεῖον habet Cod. Medic.

153 ἤν τε κάτω ἴωσι, ἤν τ' ἄνω Cod. Medic.

154 χρώμασιν οἷα εἴρηται ἀγαθὰ εἶναι καὶ ἐπαι. idem.

155 χρώμασιν οἷα εἴρηται κακὰ εἶναι μέμφεσθαι, quod sequitur τὰς τοιαύτας abest. idem. τοιάσδε Codd. impressi.

156 ἔχουσα τῷ οὔρῳ τοιαῦτα αὐτὰ ἀποδιδῷ. idem. ἐστὶν abest. eodem versu ἀλλ' αὐτῆς καθ' ἑαυτῆς τῆς κύστεως, idem. Mercurialis in margine sic habet ἤν γε αὐτὴ ἡ κύστις. & paulo infra ad ἑαυτὴν addit Imper. Corn. τῆς κύστεως.

157 περὶ ἐμέτου. ὁ φλέγματός τε καὶ χολῆς συμμεμιγμένος abest ὁ. Notant Mercur. cum Heurn. in margine, quod in Galeni Codice ὡς μάλιστα ponatur post συμμεμιγμένος.

158 μήτε πολὺς abest οἱ δ' ἀκρητέστεροι κακίους abest εἰσὶν Cod. Medic. πολὺς ἐμείσθω. ἐμείσθω æque abest.

159 ἢν δὲ εἴη τὸ ἐμεύμενον μέλαν ἢ ὅ, τι ἂν ᾖ τῶν χρωμάτων τουτέων νομίζειν, χρὴ πονηρότατον κάρτα εἶναι idem. ἐμεύμενον Codd. quidam.

160 ἢν δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέει κάρτα ὀλεθριώτατον abest ἤδη γίνεται Cod. Med.

161 καὶ εἰ ὄζει δυσώδεες. idem.

162 ἐπὶ πᾶσι τοῖσιν ὀξέσι νοσήμασι. idem.

CAPUT IX.

Prænotiones in morbis pulmones exedentibus ex ſputo, gravedine, & ſternutamento. Suppurationis ex doloribus pectoris & pulmonum futura ſigna cum ſuppurationum admodum pernicioſarum & lethalium, tum etiam earum, quæ cum ſignis aliis ſalutaribus conjuncta ſunt.

AT ſputum in omnibus pulmonis & laterum doloribus, celeriter, ac facile expui oportet; & valde commixtum ſputo flavum apparere. Si namque multo poſt doloris initium flavum expuatur, aut fulvum, aut quod multam tuſſim excitet, neque valde commixtum, deterius eſt. Flavum enim ſi ſincerum fuerit, periculoſum; album autem, & viſcidum, & rotundum, non bonum. Malum autem & quod pallidum admodum, & quod ſpumoſum eſt. At ſi adeo ſincerum fuerit, ut & nigrum appareat, hoc illis deterius eſt. Malum quoque ſi nihil expurgetur, neque projiciat pulmo, ſed plenus in gutture ferveat. In omnibus autem morbis, qui pulmonem exercent, malum eſt gravedines, atque ſternutamenta præceſſiſſe, & conſequi. In aliis vero maxime exitialibus morbis, ſternutamenta utilia ſunt. Sputum vero flavum mixtum cum pauco ſanguine, in peripneumonicis, ſi inter initia edatur, ſalutare eſt, & valde confert; ſi vero ſeptimo die, vel etiam ſerius procedat, ſecuritatis minus eſt. Omnia autem ſputa mala ſunt, quæ dolorem non ſedant; peſſima vero nigra, ut deſcriptum eſt; omnium autem, quum excreantur, optima, quæ dolorem ſedant. Quicunque vero dolores ex his locis neque per ſputorum expurgationes, neque per fœcum alvi dejectionem, neque per venæ ſectiones, & victus rationes, & purgationes ſedantur; eos ſuppurationem concitaturos eſſe ſciendum eſt. Quæcunque purulenta etiamnum bilioſo quidem exiſten-

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῦ πλυέλου ἐπὶ πᾶσι τοῖς περὶ τ̀ πλεύμονα νοσήμασι, καὶ περὶ τῶν κορυζῶν, καὶ τῶν πλαρμῶν. Τὰ τῶν ἐμπυημάτων ἐκ τῆς περὶ τ̀ πνεύμονα, καὶ τὸ ςῆθος ἀλγηδόνος μέλλοντα σημεῖα· καὶ περὶ ὀλεθρίων, καὶ θανατωδέων ἐμπυημάτων, ἢ ἅμα τῶν ἄλλων, ἃ σωτήρια ἔχουσι σημεῖα.

37

ΠΤύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν [163] πλεύμονα, καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπλύεσθαι, καὶ εὐπετέως. Συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν, ἰσχυρῶς τῷ πλυέλῳ. [164] Εἰ γὰρ πολλῷ ὕςερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπλύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, [165] ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς συμμεμιγμένον, κάκιον γίνεται. Τό, τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες· τὸ δὲ λευκὸν, καὶ γλίσχρον, καὶ ςρογγύλον, ἀλυσιτελές. Κακὸν δὲ, [166] καὶ χλωρὸν ἐὸν κάρτα, καὶ ἀφρῶδες. [167] Εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥςε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐςι τῦτο ἐκείνων. Κακὸν δὲ καὶ, ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῷ φάρυγγι. Κορύζας δὲ, καὶ πλαρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα νουσήμασι, καὶ προγεγονέναι, καὶ ἐπιγενέσθαι κακόν· [168] Ἀλλ' ἐν τοῖσιν ἄλλοισι νουσήμασιν τοῖσι θανατωδεςάτοισιν, οἱ πλαρμοὶ λυσιτελοῦσιν. [169] Αἵματι δὲ συμμεμιγμένον μὴ πολλῷ πλύελον ξανθὸν, ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν [170] τῆς νούσου πτυόμενον περιεςηκὸς, καὶ κάρτα ὠφελέει. Ἑβδομαίῳ δὲ ἐόντι, ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. [171] Πάντα δὲ τὰ πλύελα πονηρά ἐςιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ· κάκιςα δὲ τὰ μέλανα, ὡς διαγέγραπται· [172] τὰ παύοντα δὲ τὴν ὀδύνην, [173] πάντων ἄμεινω ἀναπλυόμενα. [174] Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν [175] χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πλυέλων ἀνακαθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε, καὶ διαίτας, καὶ φαρμακείας, εἰδέναι χρὴ ἐκπυήσοντα. [176] Τῶν δὲ ἐμπυημάτων, [177] ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τῦ πλυέλου ἐκπυΐ-

38

VARIÆ LECTIONES.

163 πνεύμονά τε, καὶ τὰς πλευρὰς τάχιςά τε ἀποπτύεσθαι καὶ εὐπετέως. ad oram περὶ πτυέλου ἀναπτύεσθαι, Græc. corrector & melius.

164 ἢν δὲ πολλῷ ἀποπτύοιτο ξανθὸν ἐὸν, Codex Medic.

165 ἢ βῆχα παρέχον, ἢ μὴ ἰσχυρῶς ξυμμεμιγμένον. Mercurialis autem & Heurn. in margine legunt ἢ καὶ μὴ ἰσχυρῶς, κάκιον γὰρ γίγνεται. Sublatis in ſecundo verſu πολὺν & καὶ. idem.

166 καὶ τὸ χλωρόν τε ἐὸν κάρτα idem habet.

167 ἢ οὕτως χαλεπώτερον δεινότερόν ἐςι ἐκείνου ſublato τοῦτο. κακὸν δὲ hic ſecundus verſus usque ad φάρυγγι in duobus antiquis exemplaribus deeſt. Cod. Med.

168 ἀλλ' ἐν τοῖσιν ἄλλοισιν τοῖς θανατώδεσι νουσήμασιν, οἱ πλαρμοὶ λυσιτελέες. Codex Medic. legit.

169 αἵματι δὲ ἀναμεμιγμένον μὴ πολλῷ πτυέλῳ ξανθῷ ἐν τοῖσι περιπνευμονικοῖσιν idem habet.

170 τῆς νόσου ὠφελέει vel λυσιτελέει. Cod. Med. περιεκ?ικὸν leg. Ibidem Servin.

171 πάντα τὰ πλύελα idem.

172 τὰ παύοντα δὲ abeſt τὰ. idem.

173 πάντα ἀμείνω ἀναπτυόμενα (κάκιςα δὲ τὰ μέλανα ὡς διαγέγραπται) hæc non leguntur in veteribus Codicibus Med.

174 In margine e regione περὶ τῶν ἐμπύων idem.

175 χωρίων μὴ παύοιτο ἡ ὀδύνη.

176 in Margine e reg. περὶ ἐμπυημάτων legit idem.

177 ὁκόσα μὲν ἐςι χολώδεα. ἐκπυίσκεσθαι ὀλέθρια κάρτα εἴτε ἐν μέρει τὸ χολῶδες τῷ πτυέλῳ ἀναπτύοιτο εἴ τε ὁμοῦ idem Cod. Med. habet.

πύϊσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπ̓ύοιτο, ἤν τε ὁμοῦ. Μάλισα δὲ, ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα ἀπὸ τουτέου τ̃ πτ̓ύελου ἑβδομαίου ἐόντος [178] τ̃ νουσήματος, ἢ παλαιοτέρου. [179] Ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτ̓ύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν. Ἔσι δὲ τὰ μὲν [180] ἀγαθὰ τάδε· εὐπετέως φέρειν τὸ νούσημα, εὔπνουν εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, [181] τό, τε πτ̓ύελον ῥηϊδίως ἀναβήσσειν, τό, τε σῶμα ὁμαλῶς, φαίνεσθαι [182] θερμόν τε εἶναι, καὶ μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε, καὶ διαχωρήματα, καὶ ὕπνυς, καὶ ἱδρῶτας, ὡς διαγέγραπ̓αι· ἕκασα εἰδέναι ἀγαθὰ ἐόντα ταῦτα, καὶ ἐπιγίνεσθαι. Οὕτω μὲν γὰρ [183] ἁπάντων τουτέων ἐπιγινομένων, ὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος. Ἢν δὲ τὰ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ μή· οὐ πλείονα χρόνον ζήσας, ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος.

te sputo suppurant, admodum exitiosa, sive biliosum illud sputum separatim, sive cum pure expuatur. Maxime vero si ab hoc sputo septimo aut vetustiore prodeunte morbi die, suppuratio procedere cœperit. Qui vero talia spuit, ne decimo quarto die moriatur, metus est, nisi quid boni ipsi accesserit. Sunt autem hæc bona, morbum ipsum non difficulter ferre, ex facili spirare, dolorem sedatum esse, facile excreare, corpus æqualiter molle, & calidum esse videri, sitis nulla, urinæ, dejectiones, somni, sudores quales a nobis dicti sunt; singula nosse oportet, cum superveniunt, bona esse. Hæc enim omnia si supervenerint, non morietur homo. Quod si alia quidem ex his apparent, alia autem non; is quartumdecimum diem non evadet, quin intra illum pereundum sit.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν ἐμπύων θανόντων ἢ ἐνναταίων, ἢ ἑνδεκαταίων. Περὶ ἄλλων ἐμπυημάτων, πῶς ῥήγνυνταί τινες, τούτων ἀρχαὶ, καὶ ἀπὸ τίνων χαρακτηρισμῶν αὐτὰς χρὴ διαγινώσκειν. Περὶ πλευροῦ τοῦ ἐμπυήματος, καὶ περὶ τ̃ ἐμπύων.

Κακὰ [184] δὲ ἐναντία τουτέων· δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα, καὶ πυκνὸν εἶναι, τὴν [185] ὀδύνην μὴ παύεσθαι, τὸ πτ̓ύελον μόλις ἀναβήσσειν, δίψῆν κάρτα, τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλίην, καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον, καὶ τὰς χεῖρας, [186] καὶ τοὺς πόδας ψυχρούς. Οὖρα δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπ̓αι· ἕκασα εἰδέναι κακὰ ἐόντα. [187] Οὕτως γὰρ, εἰ ἐπιγένοιτό τι τῷ πτ̓υέλῳ τουτέων, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐνναταῖος, ἢ ἑνδεκαταῖος. Οὕτως οὖν συμβάλλεσθαι χρὴ, [188] ὡς τοῦ πτ̓υέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος τὸν νοσέοντα ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. Τὰ δὲ [189] ἐπιγενόμενα κα-

CAPUT X.

Qui ex suppuratis nono aut undecimo die pereant. Aliæ suppurationes, quomodo rumpantur, earumque principia, quibus notis observanda. Item latus in suppuratis obsessum, & ipsi suppurati quoque.

Mala vero his contraria sunt: si morbum non facile sustinet, si spiritus magnus, & frequens est, si dolor non desinit, si sputum difficulter edit, si valde sitit, si corpus a calore inæqualiter affectum est, si ventre & lateribus vehementer calentibus, frons, manus pedesque refrixerunt, si urinæ, & dejectiones, & somni, & sudores, quales descripsimus, provenerint; hæc omnia mala esse sciendum est. Nam si aliquod ex his cum sputo se ostenderit, certa mors est nono, vel undecimo die, priusquam æger ad decimumquartum perveniat. Ista igitur ratio conjecturæ debet esse in hoc sputo, quod admodum mortiferum est, nec ad diem decimumquartum perducit ægrotantem; atque bona mala-

VARIÆ LECTIONES.

178 τοῦ νουσήματος additur ἢ παλαιοτέρου. Non legunt Cod. impressi ἢ παλαιοτέρου, desideratur in quibusdam Codd.
179 ἐλπὶς δὲ τὸν νουσέοντα ἀποθανεῖσθαι sublatis τὰ τοιαῦτα πτ̓ύοντα. Cod. Med.
180 ἀγαθά, τά δὲ ταῦτα vel τοιαῦτα. τὸ νόσημα. Dubitant nonnulli an totus hic contextus sit Hipp. Certe agnoscit Galen. in commentario.
181 τότε πτ̓ύελον. abest τότε. τότε σῶμα πᾶν ὁμαλῶς εἶναι abest τε.
182 θερμόν τε εἶναι καὶ μαλθακὸν καὶ δίψαν abest καὶ.
183 ἁπάντων τῶν τοιούτων ἐπιγινομένων. οὐκ ἀποθανεῖται ὁ ἄνθρωπος. εἰ δὲ τὸ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὸ δὲ μὴ, οὐ πλείονα χρόνον ad finem decimi versus ὁ ἄνθρωπος abest. Cod. Med.
184 κακὰ δὲ τὰ ἐναντία idem.
185 ὀδύνην μὴ πεπαῦσθαι. ibidem σῶμα ὑπὸ τοῦ πυρετοῦ ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν γαστέρα. idem legit.
186 καὶ τοὺς πόδας ψυχρούς. οὖρα τε καὶ Cod. Medic. ponit loco δὲ τε.
187 ἢν δ᾽ οὕτως ἐπιγίνοιτο. idem. alia quædam Exempl. legunt ἐπιγένοιτό τι ut notat Heurn. Mercurialis vero legit ἀπογένοιτό τι, & paulo post Heurn. in margine legit ἀπόλοιτ᾽ ἄν.
188 ὡς τοῦ πτυέλου μὲν τουτέου. ibidem περιάγοντος τὸν νοσέοντα εἰς τὰς τέσσαρας. id. Cod. Med.
189 ἐπιγινόμενα ἀγαθά τε καὶ κακὰ συλλογιζόμενον, idem.

que signa, quæ superveniunt, reputantem, ex ipsis præsagire oportet: sic enim verissime præsagias. At aliæ suppurationes rumpuntur, plurimæ vigesimo die, aliæ trigesimo, aliæ quadragesimo, aliæ ad sexaginta dies perveniunt. Spectare autem oportet principium suppurationis, & numerare ab eo die, quo primum homo febricitavit, aut si rigor primum ipsum prehendit, aut si pro dolore gravitatem sibi factam esse dixerit, in eo quo dolebat loco. Hæc enim per initia fiunt suppurationum. Ex his igitur temporibus ruptionem oportet exspectare suppurationum ad prædicta tem-
39 pora fore. Si vero suppuratio duntaxat fuerit in altero latere, tum vertere, tum ediscere ad hæc convenit, num dolor aliquis alterum latus detineat, & an alterum altero sit calidius; & ægro in latus sanum decumbente, interrogare ipsum, si quod ei pondus desuper impendere videatur. Si enim hoc fuerit, in altero la-
40 tere suppuratio est, in quo pondus affuerit. At purulentos omnes hisce signis cognoscere oportet. Primum quidem si febris non dimittit, verum interdiu tenuis detinet, noctu vero major, & multi sudores oboriuntur, tussesque, & tussiendi cupiditas ipsis inest, & nihil effatu dignum expuunt, oculique cavi fiunt, malas rubores obsident, & ungues quidem manuum adunci evadunt, digiti vero summi maxime incalescunt, & in pedibus tumores fiunt, & cibos non appetunt, & pustulæ per totum corpus nascuntur.

κά τε καὶ ἀγαθὰ συλλογιζόμενον, ἐκ τουτέων χρὴ τὰς [190] προῤῥήσιας προλέγειν· οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα. [191] Αἱ δ' ἄλλαι [192] ἐμπυήσιες ῥήγνυνται, αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται. Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον [193] ἀπὸ τῆς ἡμέρης ἢ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴ ποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε, καὶ εἰ φαίη ἄντι τῆς ὀδύνης βάρος αὐτῷ γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεε. Ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων. Ἐξ οὖν τουτέων τῶν χρόνων, τὴν [194] ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προει-
39 ρημένους. "Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τὲ, καὶ [195] καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, [196] μήτι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, καὶ κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν εἴ τι αὐτῷ δοκέει βαρὺ ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. Εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα ἐπὶ ὁκοῖον
40 ἂν πλευρὸν τὸ βάρος ἐγγίνηται." Τοὺς δὲ σύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖσι σημείοισι. Πρῶτον μὲν, εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων· καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, [197] βῆχές τε, καὶ θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου, καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, [197] οἱ δὲ δάκτυλοι θερμαίνονται, [198] καὶ μάλιστα ἄκροι. Καὶ ἐν τοῖσι ποσὶν [199] οἰδήματα γίνεται, καὶ σιτίων οὐκ ἐπιθυμέουσι, καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

CAPUT

Variæ Lectiones.

190 προῤῥησίαι ποιεῖσθαι. idem.

191 In margine e regione περὶ ἐκπυήσεως ἐν πλευρᾷ. idem.

192 ἐκπυήσιες αἱ πλεῖσται ῥήγνυνται, αἱ μὲν εἰκοσταὶ, αἱ δὲ τριηκοσταί. idem.

193 ἀπὸ τῆς πρώτης ἡμέρης ἢ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν ἢ τὸ αὐτὸν ῥῖγος ἔλαβε, καὶ ἢν εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος ἐγγενέσθαι ἐν τῷ τόπῳ ᾧ ἤλγει. ἀρχῇσι γίγνεσθαι τῶν ἐμπυημάτων. id est: a prima die, aut cum primum homo febricitavit, cum ipsum frigus corripuit; & si dicat pro dolore sibi gravitatem in eo loco, ubi dolebat, incidisse; in principiis fieri suppurationum.

194 ῥῆξιν χρὴ abest χρή. προσδέχεσθαι τοῦ πύου ἔσεσθαι εἰς τοὺς χρόνους. Cod. Med.

195 μανθάνειν χρή sublato κατά. idem.

196 μήτι ἔχοι ἄλγημα ἐπὶ τὸ πλευρὸν καὶ ἢν ἔστι θερμότερον ἢ θάτερον τοῦ ἑτέρου κατακλινόμενον ἐπὶ τὸ ὑγιαῖνον πλευρόν. ἐρωτᾷν εἴ τι αὐτέων δοκέει βάρυ ἐγκρέμασθαι αὐτέῳ ἐκ τοῦ ἄνωθεν. Εἰ γὰρ ἐπὶ θάτερά ἐστι τὸ ἐκπύημα ἐφ' ὁκοτέρῳ ἂν πλευρῷ τὸ ἐπὶ ὁκοῖον ἂν πλευρὸν βάρος ἐγγίνεται. id est: An nullum dolorem in latere sentiat, & an alterum altero calidius sit, cum in sanum latus reclinatur, interrogare an nullum ex illis videatur ipsi graviter incumbere ex superiore loco, si enim in alterutra parte est suppuratio, in illo latere erit, in quo latere pondus innascitur. Cod. Medic.

197 βῆξ καὶ θυμὸς αὐτέοισι. idem.

198 καὶ οἱ δάκτυλοι μάλιστα οἱ ἄκροι. idem.

199 οἰδήματα γίνεται ἱστάμενά τε καὶ καταπαυόμενα, καὶ σιτίων. idem. Linden. ibidem legit ξυνιστάμενά τε καὶ καταπαυόμενα. id est: concrescunt ac desinunt.

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

Τὰ τῶν ἐγχρονιζόντων, καὶ ὀλιγοχρονίων ἐμπυημάτων, καὶ τῆς ταχυτέρας βραδυτέρας αὐτῶν ῥήξεως σημεῖα. Περὶ τῶν ἐμπύων τῶν περιγενομένων, τῶν ἐν πολλῷ χρόνῳ περιγενομένων, καὶ περὶ τῶν ἐμπύων θανόντων. Τὰ τῶν ἀποστάσεων, τῶν ἀνὰ τὰ ὦτα καὶ σκέλη ἐν ταῖς περιπνευμονίαις γιγνομένων ἀγαθῶν τε, καὶ κακῶν σημεῖα. Κύνδυνος ἐκ τῶν ἀποστάσεων ἀφανιζόντων, καὶ παλινδρομούντων· ἄλλαι τοῖς γεραιτέροις, ἄλλαι τοῖς νεωτέροις πονηραί εἰσι.

CAPUT XI.

Suppurationum diuturnarum ac brevium ſigna, earumque celerioris aut tardioris ruptionis. Ex ſuppuratis, qui maxime ſuperſtites, qui intereunt, qui multo tempore ſuperſtites. Abſceſſus circa aures & ad crura peripneumonicis fiunt; boni & mali naſcentium ſigna: ſubſidentes, & recurrentes periculoſi, quidam ſenioribus, quidam junioribus magis fatales.

Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, [200] ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. 41 Ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστιν, ἐπισημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν· 45 [201] ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. Τὰ δὲ ταχύτερον αὐτέων, καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή· ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυελισμὸς [202] διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, [203] προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι [204] ἔμπροσθεν. Ἢν δὲ ἡσυχαίτερος ὁ πόνος εἴη, καὶ τἆλλα πάντα κατὰ λόγον, τουτέοισι προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον. 42 [205] Προσγίνεσθαι δὲ ἀνάγκη, καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυελισμὸν 406 πρὸ [206] τῆς τοῦ πύου ῥήξιος. 43 Περιγίνονται δὲ τουτέων, μάλιστα μὲν, οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι, [207] καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε, καὶ συνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πῦον λευκόν τε, [208] καὶ λεῖον, καὶ ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε, καὶ βηχὸς [209] ἰσχυρῆς (ἀνακαθαίρηται) Ἄριστα 5 μὲν οὖν οὕτως, καὶ τάχιστα [210] ἀπαλλάσσουσιν. Ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίνονται. Ἀπόλλυνται δὲ, οὓς ἂν ὅ, τε πυρετὸς (αὐθημερὸν) μὴ ἀφείῃ, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, καὶ ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ [211] πῦον χλωρὸν, καὶ πέλιον πτύῃ, [212] ἢ

Quæcunque igitur diuturnæ ſunt ſuppurationes iſta habent ſigna, & iis admodum fidendum eſt; quæ vero breves ſunt, his ſignis deprehendere oportet, ſiquid eorum appareat, qualia & iis, quæ inter initia fiunt; ſimul autem & ſi aliquanto difficilius ſpiret homo. At ex his, quæ celerius aut tardius rumpuntur, his ſignis cognoſcere oportet; ſi dolor quidem per initia oriatur, & ſpirandi difficultas, ac tuſſis, & ſputatio perſeverans ad vigeſimum diem obſideat, expectare ruptionem vel etiamnum prius oportet: ſi vero quietior ſit dolor, & pro hujus ratione cetera omnia, iſtis expectare ruptionem poſterius. Præterea vero & dolorem & ſpirandi difficultatem, & ſputationem ante puris eruptionem oboriri neceſſe eſt. Superſunt autem ex his potiſſimum, quos febris eodem poſt ruptionem die dimiſerit, & qui cibos celeriter appetant, & ſiti liberati ſint; & venter tum exigua, tum compacta dejiciat, & pus album, & leve, & ejusdem coloris ſit, & a pituita liberum, & citra dolorem, & tuſſim vehementem expurgetur. Sic quidem optime & celerrime liberantur; ſin minus, hi, quibus proxima his contigerint. Intereunt vero quos & febris eodem die non dimiſerit, ſed quum videtur dimiſiſſe, iterum recaleſcens appareat, & ſitim quidem habuerint, cibos vero non appetiverint, & alvus liquida fuerit, pusque ex viridi pallidum & livi-

Variæ Lectiones.

200 ἴσχει τὰ σημεῖα Cod. Med. Ib. σημαίνεσθαι Cod. Impreſſi.
201 ἅμα δὲ καὶ ἢν εἴ τι δυσπνοῦ. idem.
202 διατελέει Cratandri Cod. διατείνει Ald. id eſt, extendatur.
203 προσδέχεσθαι χρὴ τὴν ῥῆξιν. idem.
204 πρόσθεν. ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ. καὶ τ' ἄλλα πάντα τουτέοισι κατὰ λόγον τοῦτον legit Foeſius.
205 γίνεται legit Foeſius.
206 τῆς τοῦ πύου πτύσιος vel ῥήξιος Cod. Medic. πτύσιος Manuſcripta Regia.
207 καὶ δίψους legit Cod. Medic.
208 καὶ λεῖον, καὶ ὁμόχροον, καὶ φλέγματος ſublato ᾖ id.
209 ἰσχυρῆς ἄνευ ἄριστα ἂν εἴη, καὶ τάχιστα. id.
210 ἀπαλλάσσουσιν, ἢν δὲ μὴ. οἷσιν. γίγνονται vel τι γίνοιτο. ἀπόλλυνται δὲ οὓς ἂν ὅ, τε πυρετὸς αὐθημερὸν ἀφῇ ἢ δοκέων ἀφιέναι φαίνεται αὖθις ἀναθερμαινόμενος vel ὅ, τε πυρετὸς μὴ ἀφείῃ ἀλλὰ δοκέων ἀφιέναι, φαίνεται αὖθις ἀναθερμ. καὶ δίψαν μὲν ἔχουσι σιτίων δὲ οὐκ ἐπιθυμέουσι, καὶ ἡ κοιλίη χλωρὸν, καὶ πελιδνὸν πτύελον ſublatis καὶ πέλιον πτύῃ. Mercurialis loco ἄλλα δοκέων legit καὶ ἢ δοκέων. infra ἀπόλλυνται δὲ οἷσιν legit Galen. pro δὲ οὓς.
211 πτύελον Manuſcript. Reg. Mercurialis in margine poſt χλωρὸν legit ἢ καὶ πέλιον. & poſt ἀφρῶδες· ὦν.
212 ἢ οἷσι φλεγματῶδες γίνεται. Cod. Med.

vidum expuerint, aut pituitosum aut spumosum. Si hæc omnia contigerint, intereunt. At quibus ex his quædam evenerint, quædam non; ipsorum quidam intereunt, quidam etiam multo post tempore superstites evadunt. Verum ex omnibus signis, quæ adsunt, tum in his, tum in aliis omnibus, conjecturam facere oportet. Quibuscunque ex pulmonis morbis abscessus ad aures fiunt, & ad inferiores partes suppurant, (& rumpuntur) fistulamque gignunt; hi superstites evadunt. Ista vero hunc in modum consideranda sunt. Si febris detineat, neque dolor sedatus sit, neque sputum ex ratione procedat, neque biliosæ alvi dejectiones, neque solutu faciles, neque sinceræ fiant, neque urina admodum multa, & crassa, & copiosum habens sedimentum. Suffragantur autem evasuro reliqua omnia signa salutaria; his oportet tales abscessus futuros sperare. At oboriuntur abscessus hi quidem ad inferiores regiones, quibus circa hypochondria inflammationis aliquid affuerit; illi vero ad superiores, quibus hypochondrium molle, & doloris expers permanserit; & quum difficultas spirandi aliquamdiu facta, citra aliam evidentem causam quieverit. At abscessus, qui ad crura fiunt peripneumonicis tum vehementibus, tum periculosis, omnes sane utiles sunt. Optimi vero, qui quum sputum in mutatione jam est, fiunt. Si namque & tumor & dolor suboriatur, ac sputum pro flavo purulentum fit, ac foras prodeat; ita securissime & homo superstes evadet, & abscessus citra dolorem celerrime sedabitur. At si sputum non probe excernatur, neque urina bonum sedimentum habere videatur; periculum est, ne articulus claudicet, aut multum molestiæ facessat. Si vero evanescant abscessus, & intro recurrant sputo non prodeunte, & febre obsidente, grave est; periculum enim est, ne deliret, & intereat homo. At suppuratorum ex peripneumonicis quidem morbis; seniores magis intereunt, ex cæteris autem suppurationibus juniores potius moriuntur.

φλεγματῶδες, καὶ ἀφρῶδες. Ἢν ταῦτα πάντα γίνηται, ἀπόλλυνται. Ὁκόσοισι δ' ἂν [213] τετέων, τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. Ἀλλ' ἐκ [214] πάντων τῶν τεκμηρίων τῶν ἐνεόντων ἐν τουτέοι-
44 σι, σημαίνεσθαι, καὶ τοῖσιν ἄλλοισιν ἅπασιν. [215] Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπνευμονικῶν νουσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπύουσιν, ἢ ἐς τὰ κάτω χωρία (καὶ ῥήγνυνται) καὶ συριγγοῦνται, οὗτοι περιγίνονται. [216] Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε· Ἢν ὅ, τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ [217] χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοί τε, καὶ ἄκρητοι γίνωνται, καὶ μηδὲ τὸ οὖρον κάρτα πουλύ τε, καὶ παχὺ, καὶ
45 πολλὴν ὑπόστασιν ἔχον. Ὑπηρετεῖται δὲ περιεστηκῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστηκότων σημείων· τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. [218] Γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ
46 ὑποχόνδρια τοῦ φλέγματός [219] τι ἐγγένηται· αἱ δὲ ἄνω, οἷσιν τὸ (μὲν) ὑποχόνδριον λαπαρόν τε, καὶ ἀνώδυνον διατελέῃ· [220] δύσπνοον δέ τινα χρόνον γενόμενον, παύσηται ἄτερ φανερῆς προφάσιος ἄλλης. Αἱ δὲ ἀποστάσιες, αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσί τε, καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι· ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γιγνόμεναι. Εἰ γὰρ τὸ οἴδημα, καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ [221] πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γιγνομένου, καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ [222] ἡ ἀπόστασις ἀνώδυνος τάχιστα ἂν παύσαιτο. Εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν. [223] Ἢν δ' ἀφανίζωνται, καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ, μὴ [224] παραφρονήσῃ, καὶ ἀποθάνῃ ὁ ἄνθρω-
47 πος. [225] Τῶν δ' ἐμπύων, τῶν ἐκ τῶν περιπνευμονικῶν νουσημάτων, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται, ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

ΚΕΦΑ-

Variæ Lectiones.

213 τουτέων, τὰ μὲν γένηται sublato ἐπὶ. Cod. Med.

214 πάντων τῶν τεκμηρίων τοιουτέων ἐν τουτέοισι τεκμαίρεσθαι. Idem, id. & πᾶσιν legit Mercur. Cod. Basil. pro ἅπασιν.

215 οἷσι δὲ ἀποστάσιες Cod. Med. in margine περὶ ἀποστάσιων περιπνευμονικῶν νουσημάτων, ex Cod. leg. Valesius, & Mercur. περὶ τὰ ὦτα καὶ ἐκπυέουσι. ἢ quod sequitur abest. χωρία καὶ ῥήγνυνται, καὶ συριγγοῦνται. Cod. Med. ἐκσυριγγοῦνται Servinus, & paulo infra ἐμπυοῦσιν leg. Æmil. Portus hinc τὸ ἐμπύημα. ἐκπύουσιν. edit. Codd.

216 Ἐπισκέπτεσθαι δὲ χρὴ πυρετὸς ἔχει. Cod. Med.

217 χολώδεες αἱ διαχωρήσιες τῆς κοιλίης ἐῶσι μηδὲ εὔλυτοί τε, καὶ ἄκρητοι. μηδὲ οὖρον sublato τό. κάρτα παχύ τε, καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετεῖται δὲ περιεστηκὼς sublato καὶ. Idem Codex Med. legit & Galenus & paulo inferius ὑπηρετῆται; quædam exempl. legunt & περιεστηκῶς & περιεστηκῶν σημείων, περιεκτικῶν, leg. Servinus.

218 Hicce locus gemino modo scriptus reperitur: μηδ' οὖρον πολύ τε, καὶ παχὺ. καὶ ὑπόστασιν ἔχον πολλήν. Alii vero ita: μηδ' οὖρον πολὺ κάρτα, καὶ ὑπόστασιν πολλὴν ἔχον. Galen. in Comment. γίνονται μὲν αἱ μὲν ἐς τὰ κάτω χωρία οἷς ἂν περὶ τὸ ὑποχόνδριον τοῦ. Cod. Med.

219 τι ἐγγένηται ἐὸν αἱ δὲ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχ. διατελῇ. idem.

220 δύσπνους δέ τινας χρόνῳ. γιγνομένους παύσεται ἄτερ φανερῆς. Idem.

221 πτυέλου ἀντὶ τοῦ ξανθοῦ. Idem.

222 ἡ ἀπόστασις εἰ ἀνώδυνος τάχα ἂν παύσηται. ἢν δὲ τὸ πτύελον μὴ ἐκχωρέοι sublato καλῶς μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον. ultimo versu πράγματα legit Cod. Med.

223 ἢν δὲ μὴ ἀφανίζωνται idem Codex habet.

224 παραφρονήσῃ τε, καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. idem.

225 In margine idem Codex habet περὶ ἐμπύων. ἀπὸ τῶν περιπνευμονικῶν, omisso νουσημάτων Codd. impressi.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Πρόγνωσις τῶν ὀδυνῶν περὶ τὴν ὀσφύν τε, καὶ τὰ κάτω χωρία σὺν πυρετῷ, ἢν τῶν φρενῶν ἅπτωνται. Οἱ ἔμπυα καιόμενοι πότε σώζονται, καὶ πότε ἀποθνήσκουσι. Τὰ τῶν κύστεων ἐπωδύνων σημεῖα ἀγαθὰ, καὶ ὀλέθρια. Ποίαν ἡλικίαν τοιάδε νόσος λαβεῖν εἴωθε.

CAPUT XII.

Prognosis lumbos & infernas partes cum febre vexantium dolorum, atque septum transversum attingentium. Ex suppuratis usti, qui salventur, qui pereant: inflammatæ vesicæ signa tum salutaria, tum exitilia. Ætas, quam hic morbus potissimum attingit.

Αἱ [226] δὲ σὺν πυρετῷ [227] γενόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ [228] τὰ κάτω χωρία, ' ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλείπουσαι, ὀλέθριαι κάρτα. Προσέχειν οὖν δεῖ τὸν νόον (καὶ) τοῖσιν ἄλλοισι σημείοισιν· ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνηταί τι, ἀνέλπιστος ὁ ἄνθρωπος. [229] " Ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν μὲν καθαρὸν τὸ πύον ᾖ, καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται· οἷσι δὲ ὕφαιμόν τε, καὶ βορβορῶδες, ἀπόλλυνται." [230] Εἰ δὲ ἀναΐσσοντος τοῦ νουσήματος ὡς πρὸς τὰς φρένας, (καὶ) τ' ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι πολλαὶ ἐλπίδες τοῦτον. [231] Κύστιες δὲ σκληραί τε, καὶ ἐπώδυνοι δειναὶ μὲν [232] παντελῶς, καὶ ὀλέθριαι. Ὀλεθριώταται δὲ, ὁκόσαι σὺν πυρετῷ συνεχεῖ γίνονται. Καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι ἱκανοὶ ἀποκτεῖναι, [233] καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτων; [234] καὶ ἐν τουτέῳ χρόνῳ, εἰ μὴ σκληρόν τι, καὶ πρὸς ἀνάγκην. Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν, καὶ λείην ἔχον τὴν ὑπόστασιν." [235] Ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλθάσσοιτο, ὅ, τε [236] πυρετὸς συνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νουσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι. [237] Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαιδεκαταῖα γένωνται.

At qui cum febre fiunt dolores circa lumbos & inferiores partes, si septum transversum attingant, inferiora relinquentes, exitiales sunt admodum. Adhibere igitur animum oportet cæteris signis, ut si quod aliorum signorum pra-
48 vum appareat, omni spe destituitur homo. Quicunque vero suppuratorum uruntur, quibus purum quidem pus sit, & album, nec fœtidum, ii servantur; at quibus sub-
49 cruentum, & cœnosum, pereunt. Si vero irruente ad septum transversum morbo alia signa non prava superveniant, suppuratum hunc fore multa spes. At vesicæ & duræ & dolentes, graves omnino ac exitiales; sed exitiosissimæ quæcunque cum febre continua sunt. Etenim qui ab ipsis vesicis dolores prodeunt interimere sufficiunt, & alvi in talibus ab eo tempore nihil nisi durum, ac coactum excernunt. Soluit autem urina purulenta micta, album
50 & læve habens sedimentum. Si vero neq; cum urina quicquam dolor remiserit, neq; vesica mollescat, & febris continua sit, ne in primis morbi circuitibus æger intereat, metus est. Hic autem modus potissimum attingit septennes pueros, donec ad decimum quintum annum pervenerint.

VARIÆ LECTIONES.

226 E regione in margine περὶ πυρετῶν. Idem.

227 ὀδύναι γενόμεναι περὶ τὴν. Idem.

228 τὰ κάτω χωρία ἐκλείπουσαι ὀλέθριοι κάρτα. Καὶ προσέχειν δεῖ τὸν νοῦν καὶ τοῖσιν ἄλλοισι σημείοισιν ἢν εἴ τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνηται, ἀνέλπιστος ὁ ἄνθρωπος. Cod. Med. omisso ἢν τῶν φρενῶν.

229 ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν μὲν καθαρὸν τὸ πύον ᾖ καὶ λευκὸν καὶ μὴ δυσῶδες σώζονται. οἷσι δὲ ὕφαιμόν τε, καὶ βορβορῶδες, ἀπόλλυνται. Hæc verba non habentur in aliis Codicibus, quæ nihil ad hunc locum pertinent, & quorum non meminit Galenus in Comment. Imper. Cornar. æque supposititia esse ad oram notavit. Verum Foesius notat illa cum Aphor. 44. Libri VII. correspondere.

230 Ex hoc loco ἀναΐσσοντος ἀνορμῶντος exponit Erotianus apud Hippocratem ἀΐσσειν τὸ ὁρμᾶν λέγεται. Ibidem πολλαὶ ἐλπίδες τοῦτον σωθῆναι Cod. Medic. id est: magna spes est hunc servatum iri.

231 In margine περὶ κύστεως φλεγμαινούσης. Cod. Medic.

232 παντελῶς καὶ ὀλέθριοι, in aliis Codicibus non habentur.

233 καὶ αἱ κοιλίαι δὲ οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιουτέων. Cod. Med.

234 ἐπὶ τῶν τοιούτων non habetur in Codd. impressis & sequens καὶ ἐν τουτέῳ χρόνῳ non legit Gal. εἰ μὴ σκληρόν τι, καὶ πρὸς ἀνάγκην æque non legitur in duobus antiquis exemplar. σκληρότητι, Fevr. legit.

235 ἢν δὲ μήτε οὖρον ᾖ μηδὲν μήτ' ἐνδιδῷ ὁ πόνος, id est: At si nec urinæ quicquam sit, nec dolor remissus est. Galen. in Comment. ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος. Codd. impressi. μὴ λυομένων δὲ τούτων, μήδε τῆς κύστιος λαπασσομένης. id est: neque solutis istis, neque vesica emollita.

236 πυρετὸς ξυνεχὴς ἔσαι ἐν τῇσι πρώτῃσι ἐφόδοισι ἀλγέοντα ἀποθανεῖσθαι. Cod. Medic. legit vitiose.

237 ὁ δὲ τρόπος οὗτος ἅπτεται μάλιστα τῶν παιδίων τῶν ἀπὸ ἑπταετέων. ἕς ἂν πεντεκαίδεκα ἔτεα γένηται. Idem.

SECTIO III.

CAPUT XIII.

De Crisibus febrium placidissimarum & malignissimarum: illarum insultu integris diebus haud numerabili & quare. De Periodis criticis: de difficili per initia diuturnorum morborum notione; quando eorum animadversio facienda? exemplum a quartanis.

FEBRES diebus numero iisdem judicantur, ex quibus homines tum servantur, tum etiam intereunt. Nam & mitissimæ febres, & quæ in securissimis incedunt signis, die quarto, aut ante desinunt; maxime vero malignæ & quæ cum gravissimis fiunt signis, quarto, vel prius interficiunt. Primus itaque earum insultus sic desinit; secundus ad septimum perducitur; tertius autem ad undecimum; quartus ad decimum quartum; quintus ad decimum septimum; sextus ad vigesimum. Hi ergo insultus ex acutissimis morbis per quatuor facta accessione, ad vigesimum terminantur. Neq; vero horum quicquam integris diebus exacte numerari potest. Neque enim annus, neque menses integris diebus numerari solent. Postea vero eadem ratione juxta eandem additionem, primus circuitus est quatuor & triginta dierum; secundus quadraginta dierum; tertius sexaginta dierum. At per horum initia difficilius est eos prænoscere, qui intra longissimum tempus judicari debeant, similia namque sunt eorum principia. Verum a primo die animadvertendum est, & prout singuli quaternarii adduntur, consideradum; nec latebit quo se versurus sit morbus. Quartanarum quoque conditio eundem servat ordinem.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τῶν πυρετῶν εὐηθεστάτων, καὶ κακοηθεστάτων κρίσεως. Περὶ τῆς ἐφόδου αὐτῶν, ὅτι οὐ δύναται ὅλαις ἡμέραις ἀριθμεῖσθαι. Περὶ τῆς τῶν περιόδων κρίσεως· πρόγνωσις τῶν πολυχρονίων νόσων, ἐν ἀρχαῖς χαλεπωτάτη. Πότε χρὴ ἐνθυμεῖσθαι; παράδειγμα ἀπὸ τῶν τεταρταίων.

Οἱ [238] δὲ πυρετοὶ [239] κρίνονται
ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν
ἀριθμὸν, ἐξ ὧν τε περιγίνον-
ται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν
51 ἀπόλλυνται. ‟ [240] Οὔτε γὰρ
εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσ-
φαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ
πρόσθεν· οἵ, τε δὲ κακοηθέστατοι, καὶ ἐπὶ ση- 45
μείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτεί-
νουσιν, ἢ πρόσθεν. Ἡ μὲν οὖν πρώτη ἔφοδος
αὐτέων, οὕτω τελευτᾷ· ἡ δὲ δευτέρη, ἐς τὴν
ἑβδόμην [241] περιάγεται· ἡ δὲ τρίτη, ἐς τὴν
ἑνδεκάτην· ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαι-
δεκάτην· ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκά-
52 την· ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. ‟ [242] Αὗται
μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσ-
σάρων εἰς τὰς εἴκοσιν [243] ἐκ προσθέσιος τελευ-
τῶσιν. [244] Οὐ δύναται δὲ [245] ὅλῃσιν ἡμέρῃ-
53 σιν οὐδὲν τουτέων ‟ ἀριθμεῖσθαι ἀτρεκέως. Οὐδὲ
γὰρ ὁ ἐνιαυτός τε, καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃ- 407
54 σι πεφύκασιν ἀριθμεῖσθαι. ‟ [246] Μετὰ δὲ ταῦ-
τα ἐν τῷ αὐτέῳ [247] τρόπῳ, κατὰ τὴν αὐτέην
πρόσθεσιν, ἡ μὲν πρώτη περίοδος, τεσσάρων, καὶ
τριήκονθ' ἡμερέων· ἡ δὲ δευτέρη, τεσσαράκον-
τα ἡμερέων· ἡ δὲ τρίτη, ἑξήκονθ' ἡμερέων. Του-
τέων δ' ἐν ἀρχῇσιν ἐστὶ [248] χαλεπώτερον προ-
γινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρί-
νεσθαι. Ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐ- 5
τέων. Ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυ-
μέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην
[249] ἐπισκέπτεσθαι, καὶ οὐ λήσεται [250] ὅπη τρέ-
ψεται τὸ νόσημα. [251] Γίνεται δὲ καὶ ἡ τῶν τε-
55 ταρταίων κατάστασις ‟ ἐκ τοῦ τοιούτου κόσμου.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

238 περὶ τῶν πυρετῶν in Marg. Cod. Medic. in MSto Reg. pro titulo insertum: ἀρχὴ τοῦ τρίτου τμήματος.

239 γίνονται, Cod. Medic.

240 Hic locus repetitur Lib. περὶ κρισίων, sed ibi βεβῶτες desideratur & pro κακοηθέστατοι φονικώτατοι scribitur. Hunc etiam totum locum adducit Galen. Lib. II. περὶ κρίσεων & Comment. III. in Lib. I. Epid.

241 περιάγεται, Cod. Medic.

242 Lib. περὶ κρισίων hoc paulo aliter legitur: αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων εἰς τὰς εἴκοσι προσθέσεις. Hæc verba vero non habentur in veteri. Cod. Medic.

243 ἐκ προσθέσιος τελευτῶσιν, hæc quoque desunt, quocunque loco scriptum est ἀφικνέονται. Idem.

244 οὐ δύναται ἐν ὅλῃσιν ἡμέρῃσιν. Idem.

245 ἄλλῃσιν pro ὅλῃσιν vitiose scribit Erot.

246 Sic legunt exemplaria omnia Galen. autem Lib. II. de dieb. decret. μετὰ ταύτας.

247 τρόπῳ καὶ κατὰ τὴν αὐτέην πρόσθεσιν. Cod. Medic.

248 χαλεπώτατον edita exempl. legunt Mercur. & Heurn. διαγινώσκειν. τὰ μέλλοντα ἐν πλείονι δὲ χρόνῳ. Cod. Med.

249 σκέπτεσθαι, sublato ἐπί. idem cum Heurn. & Mercurial.

250 ὅπου τρέχει τὸ νόσημα. Idem.

251 γίνεται δὲ ἡ τεταρταία κατάστασις ἐκ τοῦ τοιούτου κόσμου. Cod. Medic. Ibidem κόσμου τάξεως exponit Erotianus, ut dierum criticorum series & ordo intelligatur, notante Foesio, quam lectionem secuti sumus. Interpretes aliter hunc locum exposuerunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν νοσημάτων εὐπελεστέρων γινώσκεσθαι, καὶ πότε μάλιστα διαφέρουσι. Περὶ κρίσεως τῶν γυναικῶν ἐκ τῶν τόκων. περὶ τῶν τῆς κεφαλῆς ὀδυνῶν ὀλεθρίων. περὶ τῆς ῥήξεως τοῦ αἵματος διὰ ῥινῶν, καὶ ἐμπυήσεως ἐν αὐτοῖς μελλούσης. ποία ὠτὸς ὀδύνη βαρυτάτη, καὶ τίνας ταχέως ἀναιρεῖ, καὶ τίνας ἐλπὶς περιγενέσθαι;

Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα [252] προγινώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέοισίν ἐστιν. Οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, [253] καὶ κοιμώμενοι τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. Οἱ δὲ ἀπολλύμενοι [254] δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε
56 ἄλλα σημεῖα κάκιστα ἔχοντες. Ὡς οὖν τουτέων οὕτω γιγνομένων, συμβάλλεσθαι [255] χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νουσημάτων. [256] Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται. [257] Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε, καὶ συνεχέες σὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίγνοιτο, ὀλέθριον κάρτα. [258] Εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, [259] ὅ, τε πυρετὸς ἔχοι,
57 ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, [260] ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία.
58 [261] Ἐς ἂν δὲ καὶ ἡ ὀδύνη ᾖ νεαρὰ, προσδέχεσθαι [262] χρὴ ὡσαύτως αἵματος ῥῆξιν διὰ [263] ῥινῶν ἢ ἐκπύησιν, ἄλλως τε κἢν ἡ ὀδύνη περὶ τοὺς [264] κροτάφους τε, καὶ τὸ μέτωπον ᾖ. Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι [265] πεντεκαιτριήκοντα ἐτέων· τοῖσι δὲ γεραιτέροισι [266] τὴν ἐκπύησιν. [267] Ὠτὸς δὲ ὀξείη ὀδύνη σὺν πυρετῷ ξυνεχεῖ τε, καὶ ἰσχυρῷ, δεινόν. Κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. Ὡς οὖν τουτέου τοῦ [268] τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον, καὶ τοῖσιν ἄλλοισι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης. Ἀπόλλυνται δὲ, οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι, καὶ ἔτι [269] θᾶσ-

CAPUT XIV.

De morbis cognitu facilioribus, & quando hi maxime differunt, exemplum a puerperis. Capitis dolores, qui perniciosi, aut hæmorrhagiæ e naribus, aut abscessus in iisdem futuri. Ecquis auris dolor sit gravissimus, & quosnam celeriter interimat, quosve superfuturos spes sit?

Qui vero brevissimo tempore judicandi sunt, facilius prænoscuntur; maxime namque ab initio inter se dissident. Qui enim superfuturi sunt, facile spirant, & dolore vacant, noctuq; dormiunt, aliaq; securissima habent signa. Qui vero pereunt, difficile spirant, delirant, vigilant, aliaque signa habent pessima. His igitur sic contingentibus, conjectare oportet, tum ex tempore, tum ex unaquaque additione, morbis ad crisim procedentibus. Ad eundem vero modum etiam mulieribus crises a partu contingunt. Capitis autem dolores & vehementes & continui cum febre, si quod certe lethalium signorum præterea accesserit, exitiosum admodum. Si vero sine ejusmodi signis, dolor vigesimum diem superet, & febris detineat, sanguinis e naribus eruptionem, aut alium quendam abscessum ad inferas partes expectare oportet. Verum quoad dolor recens fuerit, eodem modo sanguinis ex naribus eruptionem, aut suppurationem expectare convenit; cum alias, tum si dolor circa tempora & frontem fuerit. Magis autem exspectanda est sanguinis quidem eruptio junioribus quinque & triginta annis; at senioribus suppuratio. Auris dolor acutus cum febre continua & vehementi, gravis. Periculum enim est hominem delirare, ac interire. Proinde quum hic modus minime tutus sit, cito mentem advertere oportet etiam omnibus aliis signis, a primo statim die. Intereunt autem ex hoc morbo, juniores quidem homines septimo die, aut etiam citius; seniores ve-

Variæ Lectiones.

252 γινώσκεσθαι editi Codd. ibid. ἀπ' ἀρχῆς αὐτέων ἐστί. Cod. Med. cum Merc. & Heur.
253 καὶ κοιμῶνται. Cod. Med. cum Merc. & Heur.
254 δύσπνοοι γίνονται ἀγρυπνέοντες, ἀλλοφάσσοντες τά τε ἄλλα. Cod. Medic.
255 χρὴ καὶ κατὰ τὸν χρόνον. id. & ibidem ἰόντων non legunt Cod. impressi.
256 κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τῇσι κρίσιες γίνονται ἐκ τῶν τόκων. Cod. Medic.
257 In margine, e regione περὶ κεφαλῆς ὀδύνης. Idem.
258 κάρτα. ἢν δὲ ἄτερ. Idem.
259 Hæc verba quibusdam in exemplaribus desiderantur; neque adscribuntur in Coac. Prænot. ubi ista repetuntur, neque leguntur a Galeno Lib. III. περὶ κρισ. ubi hunc totum locum fusissime exponit. ubi etiam pro ὑποσκέπτεσθαι, προσεπισκέπτεσθαι scribitur.
260 ἢ ἄλλην ἀπόστασιν, sublato τινά. Cod. Medic.
261 ἔς ἂν δὲ ἡ ὀδύνη ᾖ ἐν ἀρχῇ προσδέχεσθαι. sublatis καὶ & νεαρὰ. Id. πόνον σύντομον ponit in Coac. præn. pro ὀδύνην νεαρήν.
262 χρὴ ὡσαύτως αἵματος, sublato ὡσαύτως. Idem.
263 ῥινῶν ἢ ἐμπύησιν. Idem. Mercur. vero πύησιν legit.
264 κροτάφους τε, abest τε, & in fine versus μέτωπον ᾖ abest ᾖ. Cod. Medic.
265 πέντε καὶ δέκα ἐτέων. Idem.
266 τὴν ἐμπύησιν. Idem.
267 ὠτὸς δὲ ὀδύνη, ὀξείη σὺν πυρετῷ ὀξεῖ τε, καὶ ἰσχυρῷ κακόν. κίνδυνος γάρ. id. ὠτὸς δὲ ὀξέαι κακὰ ὀδμὴ, Fevr. legendum censet.
268 τόπου pro τρόπου legisse videtur a Vega. Ibidem. καὶ τοῖσιν ἄλλοισι, abest καὶ. in margine e regione hujus sententiæ περὶ ὠτὸς ὀδύνης. Cod. Medic.
269 θᾶσσον ὑπὸ τοῦ τοῦ νοσήματος. Cod. Med.

ro multo tardius. Nam & febres & deliria minus eis superveniunt; auresque ob eam causam suppuratio præoccupat. Verum his quidem ætatibus evenientes morbi reversiones plurimos enecant. Juniores vero, priusquam auris suppurarit, intereunt. Quum quidem pus album ex aure fluxerit, juniorem superfuturum spes est, si quidem & aliud quoddam ei bonum signum supervenerit.

CAPUT XV.

Faucium cum febre exulceratarum prognosis, ut & diversarum anginæ specierum, gurgulionum periculosa operatio, quando instituenda: febrium recidivæ, quibus expectandæ. Abscessus aut quartanæ qualibus in febribus & cui ætati succedant, & quo tempore.

FAuces autem exulceratæ cum febre, grave; sed si quod aliud etiam signum fuerit ex his, quæ ante prava esse judicata sunt, hominem in periculo versari prædicendum. Anginæ gravissimæ quidem sunt, & celerrime interimunt; quæcunque neque in faucibus, neque in collo quicquam conspicuum faciunt; plurimum vero dolorem exhibent, & erecta cervice spirandi necessitatem; hæ namque & eodem die, & secundo, & tertio, & quarto strangulant. Quæcunque vero in cæteris quidem similiter dolorem exhibent, tument autem & in faucibus rubores excitant, admodum exitiales; prioribus tamen diuturniores, si ingens rubor fuerit. Quibuscunque vero fauces & cervix simul ruberint, hæ anginæ diuturniores sunt, & ex ipsis maxime evadunt, si & cervix & pectus ruborem habeat, neque intro erysipelas recurrat. Si vero neque diebus criticis evanescat erysipelas, neque tuber-

σον ὑπὸ τῦ νοσήματος τουτέου· εἰ δὲ γεραίτε-
59 ροι, πολλῷ βραδύτερον. ″ Οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίγνονται· καὶ τὰ ὦτα διὰ τῦτο φθάνει ἐκπυΐσκεσθαι. Ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τῦ [270] νουσήματος ἐπιγινόμεναι ἀποκτείνουσι τοὺς πλείστους. Οἱ δὲ νεώτεροι πρὶν ἐμπυῆσαι τὸ οὖς, ἀπόλλυνται. [271] Ἐπήν γε ῥυῇ τὸ πύον λευκὸν ἐκ τῦ ὠτὸς, ἐλπὶς [272] περιγενέσθαι τῷ νεωτέρῳ, ἤν τι καὶ ἄλλό τι χρηστὸν αὐτέῳ ἐπιγένηται σημεῖον.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Πρόγνωσις τῆς φάρυγγος ἑλκωμένης σὺν πυρετῷ, καὶ τῶν κυναγχῶν δεινοτάτων. Καὶ τίσιν ἐνίσταται. Περὶ τῆς τῶν πυρετῶν ὑποστροφῆς. Ἐν ποίοις πυρετοῖς ἡ ἀπόστασις, ἢ κατάστασις εἰς τεταρταῖον, πότε, καὶ ἐν ποίᾳ ἡλικίᾳ συμβαίνει.

ΦΑρυγξ [273] δὲ ἑλκουμένη σὺν πυρετῷ, [274] δεινόν· ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον [275] ἐπιγένηται, τῶν προκεκριμένων πονηρῶν εἶναι προλέγειν, ὡς ἐν κινδύνῳ ἐόντος τῦ ἀνθρώπου.
60 ″ [276] Αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιροῦσιν, [277] ὁκόσαι μήτ' ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι, μήτ' ἐν τῷ αὐχένι· πλεῖστον δὲ πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. Αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. [278] Ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ, καὶ ἐν τῇ φάρυγγι ἐρυθήματα ποιέουσιν, ὀλέθριαι μὲν
61 κάρτα, ″ χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν,
62 ἢν τὸ ἐρύθημα μέγα γίνηται. ″ Ὁκόσοισι δὲ [279] ξυνεξερευθείη ἡ φάρυγξ, καὶ ὁ αὐχὴν, [280] αὗται δὴ χρονιώτεραι· καὶ μάλιστα [281] ἐξ αὐτέων περιφεύγουσιν, ἤν ὅ, τε αὐχὴν, καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας
63 εἴσω. ″ [282] Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος συστραφέντος ἐν τῷ ἔσω χωρίῳ, μήτε πύου

VARIÆ LECTIONES.

270 νουσήματος γινόμεναι sine ἐπὶ. Cod. Medic.

271 ἐπὴν δὲ ῥυῇ τὸ πύον ἐκ τοῦ ὠτὸς sublato λευκὸν. idem. Mercurialis autem cum Heur, legit in margine πλὴν ἀλλ' εἴγε.

272 περιγενέσθαι τῷ νεωτέρῳ καὶ ἄλλο χρηστὸν sublatis νεωτέρῳ ἤν τι. Cod. Med.

273 In margine περὶ φάρυγγος. idem.

274 δεινόν. ἀλλὰ μὲν εἰ ἄλλο σημεῖον. id.

275 γένηται legunt Heur. & Mercur. & paulo post τῶν προκεκριμένων πονηρὸν εἶναι. Cod. Med.

276 e regione περὶ τῆς κυνάγχης. idem. αἱ μὲν κυνάγχαι δεινόταταί εἰσι καὶ τάχιστα, sublato μὲν. id.

277 ὁκόσαι μὴ ἐν τῷ φάρυγγι, ἔκδηλον μηδὲν ποιέουσι. idem.

278 Ab initio hujus constructionis legunt Heurn. & Mer. ὅσαι loco ὁκόσαι. & in fine loco μᾶλλον ὀλίγον uterque in margine. παραπλησίως ἔχουσι. Πόνον δὲ οὐ παρέχουσιν, ἐπαίρονταί τε, καὶ ἐρυθήματα ποιέουσιν ἐν τῷ φάρυγγι ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ ὀλίγον τῶν πρόσθεν, desunt autem in antiquis exempl. quæ sequuntur ad finem hujus sententiæ. ἢν τὸ ἐρύθημα μέγα γίνηται. Cod. Medic.

279 ξυναιρεθῇ pro ξυνεξαιρεθῇ Imp. Samb. ξυνεξερευθείη, quædam exemplar. in Coac. Prænot. autem, ubi ista repetuntur ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα legitur, quod hic ἐρυσίπελας dicitur, & testatur Galenus ἔρευθος aut ἐρυσίπελας in multis exempl. legi, qui lectioni suffragatur aphor. 49. Lib. VII. Foes. οἷσι δὲ ξυνεξερευθεῖ ὁ φάρυγξ καὶ αὐχὴν, sublato ὁ. Mercur. & Heurn. ξυνεξερευθείη legunt.

280 αὗται τε χρονιώτεραι. Cod. Medic.

281 ἐξ αὐτέων περιγίνονται, ἢν ὅ, τε αὐχὴν καὶ τὸ στῆθος ἐρυθήματα ἔχῃ. Cod. Med. Mercur. autem αὐτέων τινὲς γίνονται περιφεύγουσι legit.

282 Expeditior est oratio & apertior lectio in Coac. Prænot. ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου πρηέως καὶ ἀπόνως, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ὀλέθριον γίνεται. Ib. ἐμφανίζηται τὸ ἐρύθημα μήτε φύματος Cod. M.

283 πύον ἀποβήσσῃ ῥηϊδίως τε, καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. 284 Ἀσφαλέστερον δὲ τὸ οἴδημα, καὶ τὸ ἐρύθημα, ὡς μάλιστα ἔξω τρέπεσθαι. Ἢν δὲ ἐς τὸν πνεύμονα τραπέῃ, παράνοιάν 64 τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς γίνονται, ὡς τὰ πολλά. 285 Οἱ δὲ γαργαρεῶνες 65 ἐπικίνδυνοι, καὶ ἀποτέμνεσθαι, καὶ ἀποσχάζεσθαι, 286 καὶ καίεσθαι, ἔστ' ἂν ἐρυθροί τε ἔωσι, καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι, καὶ αἱμοῤῥαγίαι. Ἀλλὰ χρὴ τὰ τοιαῦτα, τοῖσιν ἄλλοισι μηχανήμασι 287 κατισχναίνειν πειρῆσθαι ἐν τουτέῳ τῷ χρόνῳ. Ὁκόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσιν, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος 288 μεῖζόν τε, καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. Ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίῃ χρέεσθαι, ἤν ὅ, τε χρόνος συγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος. 289 Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, 66 μήτε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν. Ὅστις δ' 67 ἂν τῶν πυρετῶν μηκύνῃ 290 περιεκτικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ 408 φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, 291 τουτέῳ προσδέχεσθαι ἀπόστασιν, μετ' 292 οἰδήματός τε, καὶ ὀδύνης, ἐς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω. Μᾶλλον δὲ γίνονται, καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι 293 τριήκοντα ἐτέων. 294 Ὑποσκέπτεσθαι δὲ χρὴ τουτέοισιν εὐθέως περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ. Τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνονται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. 295 Χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι συνεχέος ἐόντος τοῦ πυρετοῦ· ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ 296 τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, 297 καὶ 68 ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. Ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριηκονταετέσι, καὶ γεραι- 69

culum ad exteriorem partem converſum ſit, neque pus extuſſiat, facileque ac ſine dolore habere videatur, mortem ſignificat, aut ruboris reverſionem. At ſecurius eſt tumorem & ruborem quam maxime foras verti; Quod ſi ad pulmonem vertatur, & dementiam parit, & ex his nonnulli ſuppurati plerumque fiunt. Gurguliones vero periculoſe inciduntur, & ſcarificantur, & uruntur, quandiu rubri & magni fuerint; his enim inflammationes, & ſanguinis eruptiones eveniunt. Sed hos aliis machinamentis eo tempore extenuare conandum eſt. Ubi vero ſeparatum jam fuerit id totum, quod ſane uvam vocant, & ſumma quidem gurgulionis pars & major, & rotunda, ſuperior autem tenuior extiterit, per id tempus manum admovere tutum eſt. Præſtat autem & alvo ſubducta, hac uti chirurgia, ſi & tempus ſinat, & non ſuffocetur æger. Quibus autem febres ceſſant, neque apparentibus ſolutionis ſignis, neque in diebus criticis, iis recidiva exſpectanda eſt. Quæcunque vero febris longior fiat affecto ad ſalutem homine, neque dolore detinente ob inflammationem aliquam, neque ob ullam aliam evidentem cauſam; huic abſceſſus cum tumore & dolore ad articulum aliquem, maximeque in inferioribus partibus expectandus eſt. Magis autem oboriuntur, & breviori tempore hujuſmodi abſceſſus, annis triginta junioribus. Attendendum vero in his ſtatim ad abſceſſus ſigna eſt, ſi viginti dies febris detinens ſuperet. Senioribus autem minus contingunt, quum febris diuturnior eſt. Hujuſmodi autem abſceſſus expectandus eſt, quum febris continua eſt; in quartanam vero ceſſuram, ſi & intermiſerit, & erratico modo prehenderit, & hoc modo ſe habens ad autumnum acceſſerit. Quemadmodum autem junioribus triginta annis abſceſſus fiunt; ita quartanæ magis his, qui triginta ſunt annorum, & ſenioribus. Scire autem convenit

VARIÆ LECTIONES.

283. πύον ἀναβήσσῃ ῥηϊδίως ὅτε ἄνθρωπος ἀπόνως ἔχειν δοκέει, θάνατον σημαίνει. Cod. Med. & poſt σημαίνει pro ὑποστροφὴν legunt Merc. & Heur. ἀποτροπήν.

284 ἀσφαλέστατον. Cod. Medic. quæ ſequuntur usque ad finem ſententiæ deſunt in antiquis exempl., quæ tamen ita leguntur ἢν δὲ ἐς τὸν πνεύμονα τρέπωνται παράνοιάν τε ποιέουσι καὶ ἔμπυοι. Foeſ. legit τραπείη. quorum non fit mentio in Coac. Prænot. ubi iſta repetuntur, etſi illic adſcribitur ἀτὰρ γε ἔμπυοι γίνονται. poſt τρέπεσθαι quædam exemplaria adjiciunt, καὶ τὰς ἑτέρας τε ἀποστάσιας ἔξω τρέπεσθαι ἀμφοτέρας.

285 in margine περὶ γαργαρεῶνος. Cod. Medic.

286 ἀποχάζεσθαι. idem.

287 καὶ κατισχναίνειν χρόνῳ. ὅταν δὲ ἀποκρεμασθῇ ἤδη πᾶν Cod. Med. Mercur. & Heur. in marg. καὶ ἰσχναίνειν.

288 μεῖζόν τε καὶ πελιδνὸν τό τε ἀνωτέρω. Cod. Med. Mercur. & Heur. legunt in margine poſt μεῖζόν τε καὶ πελιόν.

289 ὁκοίοισι δ' ἂν πυρετοί. idem.

290 περιεκτικῶς vel περιεστηκῶς. ἀντὶ τοῦ περιεστηκότος, κατὰ συγκοπὴν Æmil. Portus. Ibidem ἀνθρώπου μήτε ὀδύνην ἔχοντος διὰ φλεγμονήν. Codex Medic.

291 τουτέων προσδέχεσθαι. idem.

292 οἰδήματός τε, καὶ ὀδύνης ἐκ τῶν ἄνω, καὶ οὐχ ἧσσον ἐκ τῶν κάτω. id. & poſt ὀδύνης Mercur. ἐκ in margine legit.

293 τριάκοντα. Cod. Medic.

294 ὑποσκέπτεσθαι δὲ χρὴ τουτέοισι εὐθέως περὶ τῆς ἀποστάσιος, ἐν εἴκοσιν. Cod. Med. Heur. poſt εὐθέως σημεῖα in margine legit.

295 χρὴ δὲ καὶ τὴν τοιαύτην ἀπόστασιν. Galen. in margine περὶ ἀποστάσιος ἐν πυρετῷ legit Cod. Medic.

296 Hæc ſententia ita in emendatore Græco legitur poſt διαλείπῃ τε (καὶ ἐπὶ μεῖόν τι προσεπιγίνηται, τῶν ἰσχυροτάτων δὲ καὶ κάκιστον οἷάπερ ἐπὶ φρενίτισι γίνονται, τοὺς δὲ περιεσομένους καὶ ἀπολλυμένους τῶν παιδίων τε, καὶ τῶν ἄλλων τεκμαίρεσθαι τοῖσι σύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοις ἕκαστα διαγέγραπται. id.

297 καὶ ταῦτα πάντα ποιέων. Cod. Med. ibidem τεσσαράκοντα. id. ἐτέων quidam Cod. & MSta Regia.

venit abscessus hyeme magis contingere, tardiusque cessare, & minus intro recurrere.

CAPUT XVI.

De signis vomitiones spontaneas & hæmorrhagias narium in febribus futuras indicantibus.

Quicunque vero in febre non lethali dixerit caput sibi dolere, aut etiam præ oculis tenebrosum quiddam obversari, si etiam oris ventriculi morsus accesserit, ei biliosa vomitio aderit. Si vero etiam rigor accesserit, & inferiores hypochondrii partes frigidas habuerit, adhuc citius vomitio aderit. At, si quid sub id tempus biberit, aut ederit, id perquam celeriter evomet. Quibus autem horum inceperit dolor primo die fieri, ii quarto die premuntur maxime, & quinto; at septimo liberantur. Quin eorum plerique tertio die dolere incipiunt, jactantur autem maxime quinto, verum nono, aut undecimo liberantur. Qui vero quinto die dolere cœperit, & reliqua pro ratione prioribus respondeant, ad decimum quartum diem judicatur morbus. Ista autem viris quidem & mulieribus, in tertianis præcipue contingunt; junioribus vero eveniunt quidem & in his, verum magis & in perassiduis febribus, & in legitimis tertianis. At quibus per hujusmodi febrem caput dolet, ac pro tenebris ante oculos apparentibus visus hebetudo contingit, vibrantesque splendores obversantur, & pro oris ventriculi morsu in hypochondrio ad dextram vel ad sinistram partē aliquid contenditur, neque cum dolore, neque cum inflamatione; iis sane pro vomitu sanguinem e naribus fluxurum expectandum est. Magis vero & hic juvenibus sanguinis eruptionem expectare oportet; at trigesimum annum agentibus, aut etiam senioribus minus; sed his vomitiones expectandæ.

τέροισι. Τὰς δὲ ἀποςάσιας, εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας χρονιώτερόν τε παυομένας, ἧσσόν τε [298] παλινδρομεύσας.

ΚΕΦΑΛΑΙΟΝ ις'.

περὶ τῶν σημείων τοῦ αὐτομάτου ἐμέτου, καὶ τῆς ῥήξεως τοῦ αἵματος διὰ ῥινῶν ἀντὶ τοῦ ἐμέτου ἐν πυρετῷ.

70 Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ
τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶ-
δές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, εἰ καὶ
καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμε-
τος παρέσαι. Ἢν δὲ [299] καὶ ῥίγος προσγένη-
ται, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ
ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσαι. Ἢν
δέ τι πίῃ, ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον,
κάρτα τοῦτο ταχέως ἐμεῖται. Τουτέων δὲ οἷ-
σιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γί-
71 νεσθαι, [300] τεταρταῖοι πιεζεῦνται μάλιστα,
καὶ πεμπταῖοι· ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσ-
σονται. [301] Οἱ μέν τοι πλέιονες αὐτῶν ἄρχον-
ται μὲν πονέεσθαι τριταῖοι, [302] χειμάζονται
δὲ μάλιστα πεμπταῖοι, ἀπαλλάσσονται δὲ ἐννα-
ταῖοι, ἢ ἑνδεκαταῖοι. Οἳ δ' ἂν ἄρξωνται πεμ-
πταῖοι πονέεσθαι, καὶ τἄλλα κατὰ λόγον [303]
72 αὐτέοισι τῶν πρόσθεν [304] γίνονται, ἐς τὴν
τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. [305]
Γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι
γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι
δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισι,
[306] μᾶλλον δὲ, καὶ ἐν τοῖσι συνεχεστέροισι πυ-
ρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι. [307]
Οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν
ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν
ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται,
73 ἢ μαρμαρυγαὶ προφαίνονται· ἀντὶ δὲ τοῦ καρ-
διώσσειν ἐν τῷ ὑποχονδρίῳ, [308] ἐπὶ δεξιὰ, καὶ
ἐπ' ἀριστερὰ συντείνεταί τι, μήτε σὺν ὀδύνῃ
μήτε σὺν φλεγμονῇ· αἷμα δὴ διὰ ῥινῶν τουτέοισι
ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου.
Μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος
τὴν ῥῆξιν προσδέχεσθαι· τοῖσι δὲ τριήκοντα
ἔτεσι, καὶ γεραιτέροισιν ἧσσον· ἀλλὰ τοὺς ἐμέτους
τούτοισι προσδέχεσθαι.

KE-

VARIÆ LECTIONES.

298 παλινδρομεούσας. Cod. Medic. παλινδρομεῖν est recurrere, intro redire, recursare, & de humoribus, qui intro redeunt, dicitur, eandemque originem repetunt; aut abscessibus accommodatur, qui ex humorum interno recursu abolentur, detumescunt, aut subsidunt. vid. Oecon. Hipp. παλινδρομεῖ, ἀνατρέχει, ὑποστρέφει, recurrit, revertitur, exponit Hesychius.

299 καὶ ῥίγος ἐπιλάβῃ, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ καὶ ταχίως ἔτι ὁ ἔμετος. idem.

300 τεταρταῖοι μάλιστα πιεζεῦνται καὶ πεμπταῖοι. Cod. Medic. Heur. & Mercur. legunt in margine μᾶλλον ἤ, πιέζονται μᾶλλον, ἢ πεμπταῖοι Galen. μᾶλλον καὶ πεμπταῖοι Exemplar. quædam Cornar. autem priorem lectionem secutus videtur.

301 οἱ μέν τοι πλεῖστοι αὐτῶν ἄρχονται. Cod. Med.

302 πιέζονται, Galen. leg.

303 αὐτέοισι πρόσθεν γίγνονται. idem.

304 γίνονται. Cod. εἰς τεσσαρεσκαιδεκάτην, ἐς τὴν ιδ'. Galenus.

305 γίγνονται Cod. Med.

306 μάλιστα δὲ ἐν τοῖσι ξυνεχέσι. idem.

307 ὅσοι δὲ ἂν id. paullo infra μαρμαρυγαὶ exponuntur Erot. apud Hippocratem λαμπηδόνες πυκναὶ, καὶ οἷον ἀστραπαὶ πυκναὶ, αἰφνίδιοι, πυρώδεις. Hesychio vero μαρμαρυγαὶ exponuntur αἱ συνεχεῖς τῶν ποδῶν κινήσεις ἢ λαμπηδόνες. in margine Cod. Med. Mercur. vero & Heur. in margine ante τοῖσι δὲ παιδίοισι legunt χρή.

308 ἢ ἐπὶ δεξιὰ ἢ ἀριστερὰ συντείνεταί τι. Cod. Med.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῶν σημείων τοῦ σπασμοῦ τῶν παιδίων προερχομένων. Τίνα τῷ ὀρθῶς προγινώσκειν βουλομένῳ μανθάνειν, καὶ κρίνειν ἀναγκαῖον. Αἱ φοραὶ τῶν νοσημάτων ἐπιδημίων, καὶ αἱ καταστάσεις τῆς ὥρης αὐτῶν. Ποῖα χρὴ εἰδέναι τὸν ἰητρὸν τῆς προγνώσεως χρῆσθαι θέλοντι.

Τοῖσι [309] δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ [310] διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε, καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ [311] χλωρὸν, ἢ πέλιον, ἢ ἐρυθρὸν ἴσχωσι. Γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα. Τὰ δὲ πρεσβύτερα τῶν παιδίων, καὶ οἱ ἄνδρες, οὐκέτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μήτι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τὲ, καὶ κακίστων, [312] οἷά περ ἐπὶ τῇσι φρενίτισι γίνεται. [313] Τοὺς δὲ ἀπολλυμένους τὲ, καὶ περιεσομένους τῶν παιδίων τὲ, καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖσι ξύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. Ταῦτα δὲ λέγω περί τε τῶν ὀξέων νουσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται. Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν [314] τοὺς περιεσομένους, καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νούσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντας [315] πάντα, διακρίνειν λογιζόμενον τὰς δυνάμεις αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ [316] πύον τὲ ἀναβήσσῃ καὶ χολήν. Χρὴ δὲ, καὶ τὰς φορὰς τῶν νοσημάτων τῶν ἀεὶ ἐπιδημεύντων, ταχέως ἐνθυμεῖσθαι, καὶ μὴ λανθάνειν τήν τε τῆς ὥρης κατάστασιν. Εὖ μέν τοι χρὴ εἰδέναι [317] περί τε τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ [318] ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακόν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν. Ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ, φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. [319] Εὖ οὖν χρὴ εἰδέναι, ὅτι ἐν τοῖσιν αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τὲ, καὶ λογίζε-

CAPUT XVII.

De signis convulsiones puerorum præcedentibus: recte prænoscere volenti, quæ ediscere & judicare convenit. Morborum populariter grassantium impetus, & temporis constitutiones. Medico prænotionem adhibituro, quæ cognoscenda.

74 AT vero pueris convulsiones accidunt,
si febris acuta fuerit, & venter non
dejiciat, & vigilent, & perterreantur, &
ejulent, & colorem immutent, & ex viridi pallidum, aut lividum, aut rubrum induant. Hæc autem puerulis quidem recens natis ad septimum usque annum promptissime eveniunt. Adultiores autem pueri & viri non jam per febres convulsionibus prehenduntur, nisi vehementissimorum ac pessimorum signorum, quæ phrenitidi oboriuntur, quoddam accesserit. Morituros autem & superfuturos tum pueros, tum alios ex omnibus signis conjicies, prout in singulis singula descripta sunt. Hæc autem dico & de morbis acutis & cæteris, quæ ex his oriuntur.
75 Oportet autem, qui recte præcogniturus,
superstites futuros, & morituros, & quibus plures dies, & quibus pauciores permansurus est morbus, eum signa omnia ediscentem, ac eorum vires inter se conferentem discernere (quemadmodum præscriptum est) cum cæteris, tum etiam de sputis & urinis, ubi una pus & bilis tussi ejiciuntur. Quin etiam morborum sem-
76 per in vulgus grassantium impetus, cito
animo concipere, nec tempestatis constitutionem ignorare oportet. Probe sane nosse oportet de certis indiciis, ac cæteris signis, nec ignorare quod quovis anno, & quavis anni tempestate, & mala malum, & bona bonum denuncient. Quando-
77 quidem & in Libya, & in Delo, & in Scy-
thia prius scripta signa vera esse compro-
78 bantur. Probe itaque sciendum est, quod
in his regionibus longe plura his assequi haud arduum sit, si quis ea cognitione complexus recte tum judicare, tum recte ra-

VARIÆ LECTIONES.

309 περὶ σπασμοῦ. in margine Cod. Med. Mercur. vero & Heurn. in margine ante τοῖσι δὲ παιδίοισι legunt χρή.
310 μὴ ὑποχωρέῃ καὶ ἀγρυπνῶσί τε, καὶ ἐκπλαγῶσι, Cod. Med. Heur. autem cum Mercurial. in margine legunt ὑποχωρέει.
311 χλωρὸν ἢ πελιδνὸν, ἢ ἐρυθρόν. Idem.
312 οἷα περ ἐν τῇσι φρενίτισι. Cod. Medic.
313 τοὺς δὲ περιεσομένους τε, καὶ ἀπολλυμένους τὸ τῶν παιδίων τὸ ἢ καὶ τῶν ἄλλων, Cod. Med. Mercur. & Heur. legunt ἀπολουμένους.
314 τούς τε περιεσομένους. Cod. Med.
315 ταῦτα δύνασθαι κρίνειν. id. & paulo ante Heur. & Mercurialis legunt. ἐκμανθάνοντας.
316 πύον τε καὶ χολὴν ἀναβήσσῃ. Cod. Med. & paulo infra pro ἐπιδημεόντων legunt Mercur. & Heurn. ἐπιδημευόντων.
317 περί τε τῶν τεκμηρίων. Idem.
318 ἔτει καὶ πάσῃ χώρῃ. Idem. κακόν τι σημαίνει.
319 ἐξ ὧν, quædam exempl. leg. Ibid. αὐτῶν ἐπιτυγχάνειν, αὐτῶν non legit Cod. Med.

ratione colligere ſciat. At nullius morbi nomen, quod hic ſcriptum non ſit, expetendum eſt. Omnia enim, quæ in prædictis temporibus judicantur, iisdem ſignis cognoſces.

θαι ὀρθῶς ἐπίσηται. Ποθέειν δὲ χρὴ οὐδενὸς νουσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον. Πάντα γὰρ, ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτέοισι σημείοισιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΧΥΜΩΝ.

HIPPOCRATIS DE HUMORIBUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἰητρικὰ παραγγέλματα· ἃ περὶ τῶν νοσεύντων μηχανᾶσθαι χρή· ἃ ἐν ταῖς νόσοις ἐπιγίνεται· αἱ τῶν νόσων ποικίλαι γενέσεις κατὰ τὰς τοῦ οὐρανοῦ ποικίλας καταστάσεις. Ὅπως ἐκ τῶν νόσων αἱ τῶν ὡρέων καταστάσεις προεξαγγέλλωνται· καὶ αἱ ἐκ τῶν αἱμοῤῥοΐδων ὠφέλειαι.

ARGUMENTUM LIBRI.

Medica præcepta, tum de his, quæ circa ægrotantes molienda ſunt, tum de his, quæ in morbis eveniunt; diverſi morborum ortus pro variis cœli tempeſtatibus, & conſtitutionibus. Quomodo ex morbis temporum conſtitutiones prædicendæ; & quæ ex hæmorrhoidibus commoda.

BASIL. LAT. I. 358. pag. 167. — FOESIUS Sect. II. 14. 47. — BASIL. GRÆC pag. 114.

CAPUT I.

Congeſtiones humorum per commodas vias & conveniente tempore ducendas eſſe: easdem derivatione, revulſione aliisque modis ſolvi.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Τοὺς συλλεχθέντας χυμοὺς διὰ τῶν συμφερόντων χωρίων, καὶ ὅτε προσήκει, ἀκτέον· αὐτοὺς δὲ παροχετεύσει, ἀντισπάσει, καὶ ἄλλοις τρόποις διαλύεσθαι.



Color humorum, niſi ad interna receſſerint humores, 1-2 velut (in cute) effloreſcit. 3 Ducendi quo vergunt per loca conferentia, his exceptis quorum maturationes e temporibus contingunt. Maturationes foras aut in-



ΤΟ´ 2 χρῶμα τῶν 3 χυμῶν, ὅκου μὴ ἄμπωτίς ἐστι τῶν χυμῶν, ὥσπερ 4 ἀνθέων. Ἀκτέα ᾗ ῥέπει διὰ τῶν συμφερόντων χωρίων, πλὴν ὧν οἱ πεπασμοὶ ἐκ τῶν χρόνων. Οἱ πεπασμοὶ ἔξω, ἢ εἴσω ῥέπουσιν, ἢ ἄλλῃ ὅπῃ δεῖ. Εὐ-

VARIÆ LECTIONES.

Maxima fuit inter priſcos Hippocratis interpretes diſſenſio de libro, qui de Humoribus inſcribitur. Zeuſis enim & Heraclides, qui in omnia Hipp. opera commentarios conſcripſerunt, ipſum eſſe a veris Hipp. libris omnino rejiciendum cenſuerunt. Glaucias autem, & alii ad Hipp. quidem referunt; non autem ad Magnum, quam ſententiam Dioſcorides & Artemidorus cognomento Capito habuerunt; alii à Theſſalo, Hippocratis filio, aut Polybo ejus genero confectum eſſe, contendunt. Quæ vero in hoc Opere continentur, non brevi modo, & conciſa oratione pronuntiantur; ſed etiam interrupta adeo, ut qualibet vox ſæpe integram ſententiam contineat, pluresque ſenſus admittat: unde, quæ fuerit Auctoris intentio, percipi nec poſſe, nec Medici multum referre, crediderit Galenus. Hippocrates enim recordationis gratia, quæcunque ad humorum tractationem pertinere videbantur, in unum colligens, librum hunc confecit: ſententiarum quidem ubertate immenſum, at verborum copia anguſtiſſimum. Erotianus inter σημειωτικὰ recenſet.

1 In MSt. Reg. fronte ſcriptum reperitur γνήσιον εἶναι τοῦτο Ἱπποκράτους φησὶν Γαληνός. ita MSt. Imp.

2 τὸ μὲν χρῶμα Imp. Samb. legit. Servinus vero τὸ ῥεῦμα vel χεῦμα.

3 χυμὸς κυρίως μὲν λέγεται ἡ τῆς θαλάσσης ἐπαναχώρησις, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἡμετέρων σωμάτων τὴν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος τῶν χυμῶν ὑποχώρησιν ἄμπωτιν ὀνόμασιν ita MSt. Reg. Imp. & ad oram Imp. Samb.

4 ἀνθεόντων quidam legunt.

" [5] Εὐλαβείη, ἀπειρίη, δυσπειρίη, ' μαδαρότης, σπλάγχνων κενότης, τοῖσι κάτω, πλήρωσις τοῖσιν ἄνω, τροφή. Ἀναῤῥοπίη, καταῤῥοπίη. Τὰ αὐτόματα ἄνω, καὶ κάτω, ἃ ὠφελέει, καὶ βλάπτει. Συγγενὲς εἶδος· χώρη, ἔθος, ἡλικίη, ὥρη, κατάστασις νούσου, ὑπερβολὴ, ἔλλειψις, οἷσιν ὁκόσον λείπεται, ἢ οὔ. [6] Κάθαρσις, κένωσις, " ἄκη. [7] " ἔκκλισις, " παροχέτευσις ἐς κεφαλὴν, ἐς τὰ πλάγια, ᾗ μάλιστα ῥέπει· ἢ ἀντίσπασις ἐπὶ τοῖσιν ἄνω, κάτω· ἐπὶ τοῖσι κάτω, ἄνω, " ἢ [8] ξηρῆναι, ἢ οἷσι τὰ κάτω· ἢ οἷσι τὰ ἄνω· ἢ (οἷσιν) ' ἐκπλύνεται, ἢ οἷσι παρηγορήσεται. " Μὴ τὰ [9] ἐκχυμώμενα εἰς τὸ εἴσω ἀπολαμβάνειν, ἀλλὰ τὰς [10] ἀφόδους ξηραίνειν. Τάραξις, κατάκλυσις, διάνιψις, οἷσιν ἀποστήσεται πρὸς ἕδρην· " ὅθεν ἀθέλγεται, ἢ φάρμακον, ἢ ἕλκος, ἢ χυμός τις συνεστηκώς· ἢ βλάστημα, ἢ φῦσα, ἢ σῖτος, " ἢ θηρίον, ἢ καῦμα, ἢ ἄλλό τι πάθος.

4 tro vergunt, aut alio quo oportet. Cautio, imperitia, experiendi difficultas, calvities, viscerum vacuitas; inferioribus repletio, superioribus nutritio, sursum inclinatio, deorsum inclinatio. Quæ sua sponte sursum ac deorsum feruntur, quæ juvant, ac lædunt. Cognata forma, regio,
5-6 consuetudo, ætas, anni tempestas, morbi status, exuperantia, defectus, quibus
7 quantum desit, aut non. Purgatio, evacuatio, remedia, declinatio, derivatio in
8 caput, in latera, qua maxime tendit, aut revulsio in supernis deorsum; in infernis sur-
9 sum; aut exiccare, aut quibus inferiora, aut quibus superiora, aut (quibus) eluitur, aut quibus lenietur. Ne humores effusi in-
10 tro revellantur; sed ejectionum viæ siccentur. Conturbatio, perfusio, ablutio,
11 quibus ad sedem abscedit, unde resolvitur, aut medicamentum noxium, aut ulcus, aut humor aliquis concretus, aut pustulosa eruptio, aut flatus, aut cibi recrementum, aut animalculum, aut æstus, aut alius quidam affectus.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἃ τῷ ἰητρῷ σκεπτέα· ἡ ταχύτης ἐν τῇ ἰητρικῇ· ἡ χυμῶν τῶν ἀσταθέων ἐπίνοια· κάτωθεν τοῦ ὀμφαλοῦ στρόφοι.

Σκεπτέα ταῦτα, τὰ αὐτόματα λήγοντα, ἢ οἷον αἱ ἀπὸ καυμάτων ἐπεγειρόμεναι φλυκτίδες· ἐφ' οἷσιν οἷα βλάπτεται, ἢ ὠφελέει· σχήματα, κίνησις, μετεωρισμὸς, παλινίδρυσις, ' ὕπνος, " ἐγρήγορσις, ([11] ἀλυσμὸς, χάσμη, φρίκη) ἅτε ποιητέα, ἢ κωλυτέα φθάσαι. " Παίδευσις ἐμέτου, κάτω δι' ἐξόδου, ἢ πτυάλου, μύξης, βηχὸς, ἐρεύξιος, λυγμοῦ, " [12] φύσης, οὔρου, πταρμοῦ, δακρύων, κνησμῶν, τιλμῶν, ψαυσίων, δίψης, λιμοῦ, " [13] πλησμονῆς, ὕπνων, πόνων, ἀπονίης, σώματος, γνώμης, μαθήσιος, " [14] μνήμης, φωνῆς, σιγῆς. [15] " Τῇ ὑστερικῇ καθάρσεις, [16] τὰ ἄνωθεν καταῤ-

CAPUT II.

Medico, quæ consideranda; Celeritas in Medica arte; humorum inconstantium consideratio; tormen infra umbilicum.

Consideranda hæc sponte desinentia, an velut ab ardoribus excitatæ pustulæ, in quibus qualia lædant, aut prosint; figuræ, motus, elevatio, rursum depressio,
12 somnus, vigilia, anxietas, oscitatio, horror, ut quæ molienda, aut prohibenda prævertas. Institutio vomitionis, eorum quæ per
13 inferiora subducuntur, aut sputi, muci, tus-
14 sis, ructus, singultus, flatus, urinæ, sternutamenti, lachrymarum, pruritum, vellica-
15 tionum, contactuum, sitis, famis, repletionis, somnorum, laborum, otii, corpo-
16-17 ris, mentis, disciplinæ, memoriæ, vocis, silentii. Mulieri hystericæ purgationes, quæ

Variæ Lectiones.

5 εὐλαβεῖν ante hæc verba apparet alia multa adscripta fuisse in veteribus exemplaribus ex Galeni Commentariis, quæ hodie circumferuntur. Foes.

6 Hæc in Commentariis, qui sub Galeni nomine extant, leguntur. κάθαρσις κίνησις ἄκη. Ἄκη autem τὰ ἰάματα sanationes, medelas exponit Galenus in exegesi, hoc forte subindicato loco.

7 ἔκλυσις legit Calvus cum Serv.

8 ξηρῆναι legunt Aldina Exempl. & Serv. quam lectionem probat Foes. ξυρῆναι editi Codd.

9 In MS. Imp. & ad oram Imp. Samb. hoc Scholion legitur: τὸν ἔκχυσιν τῶν χυμῶν ἐπειδὰν μέν φησιν ἐκπεπυωμένα, καὶ ἐκχυμωθῆναι τὸ ἐκπυωθῆναι νοήσας οἶμαι ἐκχύμωσις γὰρ κυρίως λέγεται ὅταν ὁ κατὰ μέρος χυμὸς ἐκτὸς τοῦ ἰδίου γένηται ἐρυθρός. συμβαίνει γὰρ τοῦτο οὐκ ἐπὶ τῶν ἀφισταμένων σωμάτων, ἀλλὰ καὶ τῶν περιτεθλασμένων. ὅταν ἀγγείου ῥήξεται γινομένη ἡ τοῦ αἵματος σύνοδος εἰς τὰ τῆς σαρκὸς πλησίον ἀραιώματα.

10 ἐφόδους Fevr. legit & ibidem. ξηρῆναι Serv. Ald. exempl. melius legunt quam lectionem probat Foes. τάραξις significat alvi irritationem ad excretionem. vid. Foes. Oecon. in τάραξις.

11 In Galeni Commentariis ἄση legitur loco ἀλυσμός. Foes. hæc tria verba prorsus omisit, quemadmodum in Codicibus nulla eorum mentio fit.

12 φύσις legunt omnia exempl. tum scripta cum publicata & Calvus ex Vatican. Codd. verum Foes. φύσης cum omnibus interpretibus legit.

13 κενώσιος id est: vacuationis hoc loco sequitur ex Galeno, ut Foes. docet, & post ὕπνων ἀγρυπνίης aut ἐγρηγόρσιος & post πόνων ἀπονίης.

14 Post μνήμης, λήθης legere videtur Galv. & pro μνήμης, γνώμης legunt exempl. quædam MSt.

15 τῆς ὑστερικῆς καθάρσιος legisse videtur Cornar. καὶ καθάρσεις Servinus legit ex MStis. At Imp. Cornar. τῇ ὑστερικῇ καθάρσει habet.

16 τὰς ἄνωθεν MSt. Reg. & Servin. καὶ καθάρσεις τὰς ἄνωθεν ex MStis legit.

quæ ſuperne prorumpunt, & tormina concitant, pinguia, ſincera, ſpumantia, calida, mordacia, æruginoſa, varia, ramentoſa, fæculenta, cruenta, flatus expertia, cruda, cocta, ſicca; quæque undique circumfluunt, ferendi facilitas, ac difficul- 18
tas, ſpectanda eſt, priusquam periculum
accedat, quæque ſedare non oporteat. 19
Maturatio, deſcenſus eorum, quæ infra 20
ſunt, fluitatio eorum, quæ ſupra, & quæ 21
ex uteris (feruntur) & in auribus ſordes; emollitio, adapertio; vacuatio, calefactio, refrigeratio, intra, extra: horum quidem, illorum minime. Quum infra umbilicum, quæ torquent, fuerint, ea tarda ac mollia tormina ſunt, vice verſa, contra.

ῥηγνύμενα, καὶ ϛροφοῦντα, [17] λιπαρὰ, ἄκρητα, ἀφρώδεα, θερμὰ, δάκνοντα, ἰώδεα, ποικίλα, ξυσματώδεα, τρυγώδεα, αἱματώδεα, ἄφυσα, ὠμὰ, ἑφθὰ, αὖα· ἄσσα περιῤῥέοι, εὐφορίην καθορατέον, (καὶ) δυσφορίην, πρὶν κίνδυνον ἰέναι, " [18] οἷα οὐ δεῖ παύειν. Πεπασμὸς, κατάβασις τῶν κάτω, ἐπιπόλασις τῶν ἄνω· καὶ τὰ ἐξ ὑϛερέων· καὶ [19] " ἐν ὠσὶ ῥύπος, " [20] ὀργασμὸς, ἄνοιξις, κένωσις, θάλψις, ψύξις, ἔσωθεν, ἔξωθεν· τῶν μὲν, " τῶν δ' οὔ. Ὁκόταν ἔη κάτωθεν ὀμφαλοῦ τὸ ϛρέφον, βραδὺς, (καὶ) μαλθακὸς ὁ ϛρόφος, ἐς τοὐναντίον.

CAPUT III.

Egeſtionum alvi conſideratio.

QUæ per alvum ſecedunt, qua tendunt, ſpumæ expertia, cocta, cruda, frigida, fœtida, ſicca, humida, prave olentia. Quæ ſitis prius non adfuit, neque æſtus, neque alia cauſa, urina, naſi humectatio. Pro- 22
jectionem, & ſiccitatem, corporis molem in 23
ſe non ſubſidentem, ſpiritum turbidum, hy- 24
pochondium, extrema, oculos male affectos, (ſpectabis). Coloris mutatio, pulſus, frigus, palpitationes, cutis duritіes, nervorum, articulorum, vocis, mentis, figura voluntaria, pili, ungues, tolerandi facilitas, aut ſecus, & qualia oportet. Signa hæc ſunt, odores corporis, oris, ejectionis alvi, auris, flatus, urinæ, ulceris, ſudoris, ſputi, naris, corpus ſalſum, aut ſputum, aut naſus, aut lachrymæ, aut alii humores; omnino ſimilia juvantia, lædentia. Inſomnia qualia quis videat (ſpectanda) & in ſomnis quæ faciat; an acute audiat; & prompto animo obediat, an quæ commoda ſunt, & ad ſalutem adferunt; an aliis fortiora, pluraque ſint commoda, quæ ſervant; an omnia omnibus ſenſibus ſentiant, & ferant, ut odores, ſermones, veſtitus, figuras, atque hæc facile, quæ etiam ſponte apparentia juvant. Et quum talia judicationem afferunt, ac tot, & talia, ut flatus & urina, qualis, quantaque & quando; 25
quæ vero contraria ſunt, ea avertere, iis-

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἡ τῶν διαχωρημάτων σκέψις.

ΤΑ' [21] διαχωρέοντα, ᾗ ῥέπει, ἄναφρα, πέπονα, ὠμὰ, ψυχρὰ, [22] δύσοσμα, ξηρὰ, ὑγρὰ, [23] ὀδμὴν κακώδεα· Δίψα πρόσθεν μὴ ἐνεοῦσα, μὴ δὲ καῦμα, μηδὲ ἄλλη πρόφασις, οὖρον, ῥινὸς ὑγρασμός. " Τὴν ἔρριψιν, " καὶ τὸν [24] ἀνασμὸν, καὶ τὸ ἀσύμπτωτον, " καὶ τὸ θολερὸν πνεῦμα, ὑποχόνδριον, ἄκρεα, ὄμματα προσκακούμενα. Χρώματος μεταβολὴ, σφυγμοὶ, ψύξις, παλμοὶ, σκληρυσμὸς δέρματος, νεύρων, ἄρθρων, φωνῆς, γνώμης, σχῆμα ἑκούσιον, τρίχες, ὄνυχες, τὸ εὔφορον, ἢ μὴ, οἷα δεῖ. Σημήϊα ταῦτα, ὀδμαὶ χρωτὸς, ϛόματος, διαχωρήματος, ὠτὸς, φύσης, οὔρου, ἕλκεος, ἱδρῶτος, πτυάλου, ῥινὸς, χρὼς ἀλμυρὸς, ἢ πτύαλον, ἢ ῥὶς, ἢ δάκρυον, ἢ ἄλλοι χυμοί· πάντη ὅμοια τὰ ὠφελέοντα, τὰ βλάπτοντα. Ἐνύπνια, οἷα ἂν ὁρέῃ· καὶ ἐν τοῖσιν ὕπνοισιν, οἷα ἂν ποιέῃ· ἢν ἀκούῃ ὀξύ· καὶ πείθεσθαι προθυμέηται ἐν τῷ λογισμῷ· μέζω ἰσχυρότερα τὰ πλείω, ἐπίκαιρα τὰ σώζοντα τῶν ἑτέρων· ἢν αἰσθάνωνται πάσῃ αἰσθήσει πάντων, καὶ φέρωσιν. Ὁκοῖον ὀδμὰς, λόγους, εἵματα, σχήματα, [25] τοιαῦτα εὐφόρως, ἅπερ καὶ αὐτόματα ἐπιφαινόμενα ὠφελέει. Καὶ ὁκότε κρίσιν τὰ τοιαῦτα ἐμποιέει, καὶ τοσαῦτα καὶ τοιαῦτα, οἷον φῦσαι, οἷον οὖρον, καὶ ὁκόσον, καὶ ὁκότε· ὁκόσα δὲ τἀναντία, ἀποτρέπειν ἢ μάχεσθαι αὐτοῖσι. " [26] Τὰ ἐγγὺς καὶ τὰ κοινὰ τοῖσι παθήμασι, πρω-

VARIÆ LECTIONES.

17 διαχωρημάτων εἴδη λέγει Imper. Samb.
18 οἷα δεῖ παύειν, ἢ ὃν legiſſe videtur Calvus.
19 καὶ ὃν ἐν ὠσὶ Cod. Regii MSti legunt. Eſt autem iſta velut ſcoporum Medicorum recenſio quædam.
20 ἐρασμὸς vitioſe legunt quædam MSta Scholion MSt. Imp. & Imper. Samb. ὀργασμὸς, μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων. καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν. καὶ Ἀττικοὶ δὲ ἰδίως λέγουσιν ὀργάσαι, τὸ τὰ ὑγρὰ τοῖς ξηροῖς μῖξαι, καὶ ἀναφυρᾶται καὶ οἷον πηλὸν ποιεῖν. Quod adducitur in Foeſii Oecon. ex MSto Reg. At vero Commentar. Galeno attributi ὀργασμὸν ab ὀργᾶν deducunt.
21 τὰ δὲ διαχωρέοντα Imp. Samb. & Fevr.
22 Sic ex MStis Servin. & Fevr. δυσώδεα Edit. Codd.
23 ὀδμὴ, κάδεια legit Servin.
24 ἀνασμὸν ξηρασμὸν ex hoc loco Erotianus exponit ut αὖον τὸ ξηρὸν adducto Homeri teſtimonio. vid. Oec. Hipp.
25 καὶ τοιαῦτα Imper. Cornar.
26 Hunc locum notante Foeſ. ſubindicare videtur Galenus ex Commentario III. in Lib. de Artic. his verbis, quæ vitioſiſſime noſtris in Codd. leguntur. συμπάσχει δὲ τὰ ὁμογενῆ, καὶ τὰ πλησίον ἅπερ ἐλέγετο κὰν τῷ συνεγγὺς, καὶ τὰ κοινὰ, καὶ μάλιστα κακοῦντα.

πρῶτα καὶ μάλιστα κακοῦται. Κατάστασιν δὲ ἐκ τῶν πρώτων ἀρχομένων· ὅ, τι ἂν ἐκκρίνηται ἐκ τῶν οὔρων, ὁκοῖα ἂν ἔῃ, καὶ οἵη τὶς σύμπτωσις, χροιῆς [27] ἀπάλλαξις, πνεύματος μινύθησις, καὶ τἄλλα μετὰ τούτων τὰ διαιτήματα. Τὸ μὲν εἰ ὅμοια τὰ ἀπιόντα, δεῖ εἰδέναι· διέξοδοι, οὖρα καθ' ὑστέρας, πτύαλα κατὰ ῥῖνας, ὄμματα, ἱδρῶς ἐκ φυμάτων, ἐκ τραυμάτων, ἐξανθημάτων, ὁκόσα αὐτόματα, ὁκόσα τέχνῃσιν. Ὅτι ὅμοια ἀλλήλοισι πάντα τὰ κρίνοντα, καὶ τὰ ὠφελέοντα, καὶ τὰ βλάπτοντα, καὶ τὰ ἀπολλύοντα· ὡς τὰ μὲν περιφεύγων ἀποτρέπῃ, τὰ δὲ προσκαλέων, καὶ ἄγῃ καὶ δέχηται. Καὶ τ' ἄλλα δὲ οὕτω· δέρματος, ἀκρέων, ὑποχονδρίων, ἄρθρων, ὄμματος, στόματος, σχημάτων, ὕπνων· οἷα κρίνει, καὶ ὅ, τε τὰ τοιαῦτα μηχανᾶσθαι. Καὶ ἔτι ὅσαι τοιαῦται ἀποστάσιες γίνονται· [28] οἷα ὠφελέουσι, βρώμασι, πόμασιν, ὀδμῇσιν, ὁράμασιν, ἀκούσμασιν, ἐννοήμασιν, ἀφόδοισι, θάλψει, [29] ψύξει, ὑγροῖσι, ξηροῖσιν· ὑγρῆναι, ξηρῆναι, χρίσμασιν, ἐγχρίσμασιν, ἐπιπλάστοισιν, ἐμπλάστοισιν, ἐπιπάστοισιν, [30] ἐπὶ δὲ τοῖσιν ἐπιθέτοισι. Σχήματα, ἀνάτριψις, ἴησις, πόνος, ἀργίη, ὕπνος, ἀγρυπνίη· πνεύμασιν ἄνωθεν, κάτωθεν, κοινοῖσιν, ἰδίοισιν, τεχνητοῖσιν· ἐν τοῖσι παροξυσμοῖσι μήτε ἐοῦσι, μήτε μέλλουσι, μήτε ποδῶν ψύξει, ἀλλ' ἐν καταρρόπῳ τῇ νούσῳ. Τοῖσιν, ἐν τῇσι περιόδοισι, παροξυσμοῖσι, τὰ προσάρματα μὴ διδόναι μηδὲ ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προθέσιων, πρὸ τῶν κρίσιων. Τὰ κρινόμενα, καὶ τὰ κεκριμένα [31] ἀρτίως, μὴ κινέειν, μήτε νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν. [32] (Τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαίνεσθαι.) Πέπονα φαρμακεύειν, καὶ κινέειν, μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ. Ἃ δεῖ ἄγειν, ὅπῃ ἂν μάλιστα [33] ῥέπῃ, διὰ τῶν συμφερόντων χωρίων, ταύτῃ ἄγειν. Τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ἕως ἂν χωρέῃ, οἷα δεῖ, καὶ φέρῃ εὐφόρως. Ὅκου δὲ δεῖ [34] γυῶσαι ἢ λειποθυμῆσαι ἕως ἂν τοῦτο ποιήσῃς, ἐπ' ἄλ-

que adversari oportet. Quæ propinqua, & communia sunt affectibus, ea prima & maxime vitiantur. Constitutionem autem spectato ex iis, quæ prima incipiunt; quicquid tandem excernatur, ex urinis qualesnam sint, & quænam sit corporis concidentia, coloris immutatio, spiritus imminutio, & cæteræ cum his victus rationes. Id quidem sciendum, num quæ prodeunt sint similia, egestiones, urinæ per uteros, sputa per nares, oculi, sudor ex tuberculis, ex vulneribus, pustulis, quæ sua sponte, quæ per artem. Quod similia sunt inter se omnia, quæ judicant: & quæ juvant, & quæ lædunt, & quæ liberant, ut illa quidem effugiens avertat, hæc vero asciscens adducat, & suscipiat. Aliaque etiam eodem modo in cute, extremis partibus, hypochondriis, articulis, oculis, ore, figuris, somnis, qualia judicent, &
26 quando talia moliri oporteat. Ac præterea
quinam tales abscessus oriantur; quænam juvent, cibis, potionibus, odoribus, visu, auditu, cogitatione, secessibus, calefactione, frigefactione, humoribus, siccitatibus, humectando, siccando, unctionibus, illitionibus, cataplasmatis, emplastris, inspersionibus, tum vero iis, quæ imponuntur. Figuræ, defrictio, medela, labor, otium, somnus, vigiliæ, spiritibus superne, inferne, communibus, propriis, artificiosis; in acces-
27 sionibus, neque præsentibus, neque futuris,
neque pedum frigore; sed declinante morbo. In accessionibus per circuitus repetentibus neque cibos dare, neque cogere opor-
28 tet; sed ante judicationes, de iis, quæ appo-
nuntur, auferre. Quæ judicantur & judicata sunt integre, neque movere, neque innovare, sive medicamentis, sive aliis irrita-
29 mentis, sed sinere oportet. (Judicantia in
melius, non statim apparere.) Concocta
30 medicamentis aggredi, ac movere oportet,
non cruda; neque in principiis, nisi turgeant; multa autem non turgent. Quæ ducere oportet, quo maxime vergunt, eo per loca convenientia ducenda sunt. Quæ pro-
31 deunt, haud multitudine æstimanda sunt;
sed quandiu prodeant, qualia oportet, & æ-

Variæ Lectiones.

27 ἐπάλλαξις Imp. Samb. & Cornar. infra ἀποφεύγων legit Serv.

28 οἷαι ὠφελέουσι editi Codices.

29 ψύχει legit Servin.

30 ἔτι pro ἐπὶ. Imper. Cornar.

31 ἀπαρτὶ legunt Comment. Galen. attributi, & Comment. ad Aph. XX. Lib. I. quam dictionem antiquis ἀπηρτισμένως καὶ ὁλοκλήρως καὶ ἀνελλιπῶς, exacte, integre, juste ac plene significare scribit, idemque quod ἀπαρτίως: quam lectionem Erotianus etiam apud Hippoc. agnoscit. Suidas ἀπαρτὶ pro ἀπηρτισμένως ut & Varin. apud Herodot. poni scribit, apud quem etiam adverbium est temporis significationem habens; quemadmodum & Galen. in ἀρτίως aut ἀπαρτίως, τοῦ πρὸ ὀλίγου notionem agnoscit. vid. Oecon. Hipp.

32 τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον μὴ αὐτίκα ἐπιφαίνεσθαι. Hæc verba in omnibus Codd. Græcis desiderantur, & ab Hippoc. scribuntur Lib. II. Epid. Sect. I. Infra MSt. Imperiale & Imper. Samb. sequens adscribunt ὀργᾷν, ὀρέγεσθαι, ἐπιθυμεῖν πρὸς συνουσίαν. ὀργὰς γὰρ τοὺς τρόπους ἐκάλουν οἱ ἀρχαῖοι, ὡς καὶ Ἀλκμάν φησι. ἐν μὲν ἀνθρώπῳ ὀργαὶ κεκριμέναι μυρίαι.

33 ῥέπῃ διὰ lego ex Aph. 21. Libr. I.

34 ita Foes. ex MStis Regiis & Ald. exempl. legunt: verum γυῶσαι in editis exempl. vitiose legitur, quemadmodum & λυποθυμῆσαι. Γυῶσαι ex Scholio quodam exponitur in MStis Reg. & Imp. βλάψαι, κακῶσαι. Quam lectionem illic videtur secutus Calvus. Δεῖ ἀσθενῶσαι pro γυῶσαι legit Mart. De quo Homerus IL. θ. γυώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους. Est autem γυοῦσθαι proprie membris esse fractis, debilitari, & viribus esse exolutis. Ubi Galenus τοὺς γεγυωμένους καταλελυμένους τὴν δύναμιν, eos quibus vires languent & exolutæ sunt, exponit. vid. Oeconom. Hipp. in Γυῶν.

ger facile ferat. Ubi vero virium debilitatem, aut animi defectionem inducere oportet; donec id effeceris, cujus causa hoc fit, alio vertere, aut siccare, aut humectare, aut revellere, si sufficere æger possit. Ex his conjiciendum, sicca quidem erunt calida; humida vero, frigida; quæ vero alvum subducunt, plerunque contraria. Hæc diebus imparibus sursum fiunt, si & circuitus, & constitutio ex ipsis exacerbationibus talis sit; plurima autem paribus diebus fiunt deorsum. Sic enim quæ sua sponte eveniunt, juvant, nisi circuitus in diebus paribus exacerbationes faciant; in hujusmodi autem paribus diebus sursum; imparibus, deorsum; tales autem pauci sunt; & tales etiam constitutiones difficilius judicantur. Quin etiam tempore ulterius progressa sic fieri necesse est, velut quæ ad decimumtertium, decimumque quartum diem; ac decimo quidem tertio, deorsum; decimoquarto vero, sursum; sic enim ad judicationem confert; & quæ ad vigesimum; præter ea, quæ deorsum feruntur: multa autē purganda sunt, eaque non prope judicationem, sed longius (ab ea.) In acutis autem raro multa ducenda sunt; in delassatis vero, totum. In febribus ad articulos, & maxillas maxime abscessus fiunt, in vicinia dolorum cujusque ad superiorem partem magis & in totum. Si vero morbus lentus fuerit, & deorsum feratur, infra etiam abscessus fient: maxime autem pedes calidi infra significant; frigidi vero supra. Iis, qui e morbis convalescunt, si statim in manibus aut pedibus dolores oboriuntur, in his abscessus fiunt. Sed si qua pars ante morbum laborarit, ibi morbi sedes erit; ut accidit iis, qui Perinthi tussi, & angina laborarunt; tusses enim, non secus ac febres, abscessus excitant. Eadem quoque ratione contingit vel ab humoribus, vel corporis colliquatione, & animi. Humores igitur, quibus anni temporibus efflorescant, nosse oportet & quosnam in singulis morbos efficiant; & quasnam in unoquoque morbo affectiones pariant. Tum vero corpus reliquum spectandum est, ad quem morbum maxime natura vergat; & quidnam lien intumescens faciat: horum etiam quiddam natura facit; ac colores fere deteriores sunt, & corpora desiccat: & si quid aliud sit, in his te exercere oportet.

λα τρέψαι ἢ ξηρῆναι, ἢ ὑγρῆναι, ἢ ἀντισπάσαι,
οὗνεκα τοῦτο ποιέεται, ἢν ἐξαρκέῃ ὁ νοσέων.
Τούτοισι τεκμαίρεσθαι· τὰ μὲν ξηρὰ, θερμὰ ἔσαι· τὰ δὲ ὑγρὰ, ψυχρά· διαχωρητικὰ δὲ, τἀναντία ὡς ἐπιτοπολύ. Ταῦτα
τῇσι περισσῇσιν ἄνω, ἢν καὶ αἱ περίοδοι
32 καὶ ἡ κατάστασις τοιαύτη [35] ἔῃ τῶν παροξυσμῶν· γίνεται δὲ τὰ πλεῖστα τῇσιν
ἀρτίῃσι κάτω. Οὕτω γὰρ καὶ αὐτόματα
ὠφελέει, ἢν μὴ αἱ περίοδοι τοὺς παροξυσμοὺς ἐν τῇσιν ἀρτίῃσι ποιέωνται· ἐν δὲ τοῖσι τοιούτοισιν, ἐν μὲν ἀρτίῃσιν, ἄνω· ἐν δὲ
τῇσι περισσῇσι, κάτω· ὀλίγαι δὲ τοιαῦται·
αἱ δὲ [36] τοιαῦται δυσκριτώτεραι καταστάσιες. Ἀτὰρ καὶ τὰ πρόσω χρόνου προήκοντα ἀνάγκη οὕτως· οἷον τρισκαιδεκαταῖα,
τεσσαρεσκαιδεκαταῖα· τρισκαιδεκάτῃ μὲν,
κάτω· τεσσαρεσκαιδεκάτῃ δὲ, ἄνω· πρὸς
γὰρ τὸ κρίσιμον οὕτω συμφέρει· καὶ ὁκόσα εἰκοσταῖα· πλὴν ὁκόσα κάτω· πολλὰ δὲ
33 δεῖ καθαίρειν· ταῦτα δὲ ἐγγὺς [37] οὐ
τῆς κρίσιος, ἀλλὰ προσωτέρω. Δεῖ δὲ ὀλιγάκις ὀξέσι πολλὰ ἄγειν· τοῖσι (δὲ) κοπώδεσι,
34 τὸ σύμπαν. Ἐν τοῖσι πυρετοῖσιν, εἰς ἄρθρα, καὶ παρὰ γνάθους μάλιστα ἀποστάσιες γίνονται, ἐγγύς τε τῶν πόνων ἑκάστου
ἐπὶ τὸ ἄνω μᾶλλον, καὶ τὸ σύμπαν. [38]
Ἢν ἀργὸς ἡ νοῦσος ἔῃ, καὶ καταῤῥοπος, κάτω αἱ ἀποστάσιες· μάλιστα δὲ πόδες θερμοὶ
κάτω σημαίνουσι· ψυχροὶ δὲ ἄνω. Οἷσι δὲ
ἀνισταμένοισιν ἐκ τῶν νούσων, αὐτίκα δὴ
ἐν χερσὶν ἢ ποσὶ πονέουσί τι, ἐν τούτοισιν
ἀφίστανται. Ἀτὰρ καὶ ἤν τι πεπονηκὸς ἔῃ
πρὶν ἢ νοσέειν, [39] ἐνταῦθα ἀποστηρίζεται·
35 οἷον καὶ τοῖσιν ἐν Περίνθῳ βηχώδεσι, καὶ
κυναγχικοῖσι· ποιέουσι γὰρ αἱ βῆχες τὰς
ἀποστάσιας, ὥσπερ οἱ πυρετοὶ τοιαύτας.
Κατὰ τὸν αὐτὸν λόγον συμβαίνει [40] ἢ ἀπὸ
36 χυμῶν ἢ σώματος συντήξιος, [41] καὶ
ψυχῆς. Τοὺς μὲν οὖν χυμοὺς εἰδέναι ἐν
ᾗσιν ὥρῃσιν ἀνθέουσι, καὶ οἷα ἐν ἑκάστοισι νοσήματα ποιέουσι· καὶ οἷα ἐν ἑκάστῳ νοσήματι παθήματα. Τὸ δὲ σῶμα 116
τὸ ἄλλο, ἐς ὅ, τι μάλιστα νόσημα ἡ φύσις ῥέπει· οἷόν τι σπλὴν ἐνοιδέων ποιέει,
τούτων τι, καὶ ἡ φύσις· σχεδόν τι καὶ χρώ-
37 ματα κακίω, καὶ σώματα [42] σειριαῖ· καὶ
εἴ τι ἄλλο, ταῦτα διαγεγυμνάσθαι.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

35 ἐκ Cornar. & Aldus legunt cum aliquibus exempl.
36 τοιαῦται καὶ δυσκριτώτεραι Ald. & Cornar. cum multis aliis legunt.
37 Sic legit Foes. verum edita exempl. οὕτω legunt.
38 ἢν δὲ ἀργὸς Imper. Cornar. & paulo infra Mercurialis legit αἱ ἀποστάσιες.
39 Sic restituimus ex Serv. verum ἐς ταῦτα legunt editi Codd.
40 ἢ σώματος ἀπὸ χυμῶν συντήξιος Imp. Samb. Cornar. & Aldus. Vaticani Codd. legunt, σώματος ἀπὸ χυμῶν σύντηξις & Mercurialis in margine.
41 καὶ ψυχῆς legunt quidem exemplaria omnia & Galeno adscripti Commentarii. ψύχους autem pro ψυχῆς legere videntur Cornar. & Calvus; id est frigore.
42 συρεοῖ habet Serv. σειριᾶ Imper. Cornar. οἰδέει videtur legisse Cornar. & corpora tument dixit. & Galeno attributus Commentarius. vid. Oecon. Hipp.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Αἱ τῆς ψυχῆς, καὶ τοῦ σώματος ἀηδίαι· ὄφις ἐξαίφνης ὀφθεὶς χλωρότητα ποιέει· ἡ γῆ ὥσπερ ἡ γαστήρ.

ΨΥχῆς [43] " ἀκρασίη ποτῶν καὶ βρωμάτων, ὕπνου, ἐγρηγόρσιος, ἢ δι' ἔρωτάς τινας, οἷον κύβων, ἢ διὰ τέχνας, ἢ δι' ἀνάγκας καρτερίη πόνων, καὶ ὧν τινων τεταγμένη, ἢ ἄτακτος. " Αἱ μεταβολαὶ ἐξ οἵων εἰς οἷα. Ἐκ τῶν ἠθέων Φιλοπονίη ψυχῆς· " ἢ [44] ζητέων, ἢ μελετέων, ἢ ὁρέων, ἢ λέγων, ἢ εἴ τι ἄλλο, οἷον λῦπαι, δυσοργησίαι, ἐπιθυμίαι. Τὰ ἀπὸ συγκυρίης λυπήματα γνώμης, ἢ διὰ τῶν ὀμμάτων, ἢ διὰ τῆς ἀκοῆς, οἷα τὰ σώματα, μύλης μὲν τριφθείσης πρὸς ἑωϋτὴν, ὀδόντες ἠμωδησαν· " παρά τε κοῖλον παριόντι σκέλεα τρέμει. Ὅταν δὲ τῇσι χερσὶν, ὧν δεῖται [45] ἆραι, αὗται τρέμουσιν· " ὄφις ἐξαίφνης ὀφθεὶς, [46] χλωρότητα ἐποίησεν. Οἱ φόβοι, [47] οἷον αἰσχύνη, λύπη, ἡδονὴ, ὀργὴ, τ' ἄλλα τοιαῦτα " [48] οὕτως ὑπακούει. Ἑκάστῳ δὲ τὸ προσῆκον τοῦ σώματος τῇ πρήξει, ἐν τούτοισιν ὑπακούει· ἱδρῶτες, καρδίης παλμὸς, καὶ τὰ τοιαῦτα τῶν δυναμίων. Τὰ ἔξωθεν, ὠφελέοντα, ἢ βλάπτοντα, ἄλειψις, κατάχυσις, κατάχρισις, κατάπλασις, ἐπίδεσις ἐρίων καὶ τῶν τοιούτων· καὶ τὰ ἔνδοθεν ὑπακούει τῶν τοιούτων, οὐ μόνον ὥσπερ τὰ ἔξω τῶν εἴσω προσφερομένων, ἀτὰρ καὶ τάδε " ἐν ἐρίοισι [49] κοίτῃ πινώδεσι, " καὶ τὸ παρὰ βασιλέος λεγόμενον [50] κύμινον ὁρῶσιν (ἢ) ὀσφραινομένοισιν. " Ὅσα κεφαλῆς ἀγωγὰ, ταρακτικά· λόγοι, φωνὴ, καὶ τὰ τοιαῦτα. Μαζοὶ, γονὴ, ὑστέρη, σημήϊα τά τε ἐν τῇσιν ἡλικίῃσι, καὶ ἐν τοῖσι πνιγμοῖσι, καὶ βηξὶ, τὰ πρὸς ὄρχιν. " Ὥσπερ τοῖσι δένδροισιν ἡ γῆ, οὕτω τοῖσι ζώοισιν ἡ γαστὴρ, καὶ τρέφει, καὶ θερμαίνει, καὶ ψύχει· ψύχει μὲν κενουμένη· θερμαίνει δὲ πληρουμένη, " [51] ὥσπερ γῆ κοπρευομένη· (ὥσπερ δὲ ἡ γῆ) χειμῶνος θερμή· οὕτω καὶ ἡ κοιλίη. Δένδρεα φλοιὸν λεπτὸν ξηρὸν ἔχει, ἔσωθεν δὲ ξηρόσαρκα, ὑγιηρὰ, ἄσηπτα, χρόνια· καὶ ζώων, οἷον χελῶναι, καὶ ὅ, τι τοιοῦτον, ἡλικίῃσιν, ὥρῃσιν, ἐνιαυτοῖσιν ὅμοια, τὰ ζῶντα οὐ τρίβεται [52] χρωμένοισι

CAPUT IV.

Animi & corporis molestiæ. Serpens derepente conspectus pallorem cum virore inducit. Terra similis ventriculo.

38 ANimi intemperantia in cibis, potibus,
somno, vigilia, aut propter amores
quosdam, ut tesserarum, aut propter ar-
tes, aut propter necessitates, laborum tole-
39 rantia, & quorumcunque, ordinata est, aut
inordinata. Mutationes ex quibus ad quæ-
40 nam fiant, considerandæ. Ex moribus ani-
mi industria, aut quærens, aut meditans,
aut videns, aut loquens, aut quid aliud fa-
ciens; velut tristitiæ, iracundiæ, cupidita-
tes. Quæ ex casu accidunt animi molestiæ,
aut aspectu, aut auditu contractæ, ut e-
41 tiam corpora afficiuntur, nam malis ad se ip-
sas attritis, dentes stupescunt, juxta foveam
42 ambulanti, crura tremunt, quum quis ea,
quibus opus habet, manibus extollit, eæ tre-
munt; serpens derepente conspectus, pallo-
43 rem virescentem inducit. Timores, sicut
pudor, mœror, lætitia, ira, aliaque ejusmo-
di sic respondent; unicuique autem pars cor-
poris ad actionem accommodata in his ob-
temperat; sudores, cordis palpitatio, & ejus-
modi facultates. Quæ extrinsecus, prosunt
aut nocent; unctio, perfusio, illitio, cata-
plasmatum usus, lanarum deligatio & rerum
earum, quæ sunt hujusmodi. Ac internæ
44 partes talibus obediunt; ac non solum exter-
45 næ iis, quæ intro assumuntur, sed etiam quæ
in lanis ab ovili succidis adhibentur; & quod a
46 rege nomen duxit cuminum videntibus, (vel)
olfacientibus. Quæ de capite ducunt, pertur-
bationem adferunt, sermones, vox, & talia.
Mammæ, genitura, uterus, signa in ætatibus, &
47 in suffocationibus, & tussibus, quæ ad testes
perveniunt. Ut se habet terra in arboribus,
ita in animantibus venter, alit, calefacit, ac
48 refrigerat; refrigerat autem dum evacuatur;
calefacit, dum impletur, ut terra stercorata;
(sicut autē terra) hyeme calida est, ita etiam
venter. Arbores corticem tenuē siccum ha-
bent, intrinsecus vero carne sicca, sanæ, impu-
tres, diuturnæ; & ex animantibus, testudines,
& quicquid est hujusmodi, ætatibus, tempori-
bus,

Variæ Lectiones.

43 Sic quidem legunt exempl. omnia. At ψύχους ἀκρασίη Calvus legisse videtur, vitiose tamen. Imper. Cornar. autem οἷον ψυχῆς.

44 ζητεόντων Mercurialis in margine, MSta Reg. & Vaticana Exemplaria legunt.

45 ἄιρει Imper. Cornar.

46 χλωρότερον ex MSt. legit Serv. & ἐποίησαν οἱ φόβοι.

47 οἷον delet Imper. Cornar.

48 ὅπως ὑπακούει aut ὅκως videtur legisse Cornarius & Galenus. Quam lectionem habet Imp. Cornar.

49 πινώδεσι ῥυπαροῖς ex hoc loco Foes. videtur exponere Erot. apud Hipp. κοίτην autem ovile aut ovium sordes intelligit, ibidem παρὰ βασιλεῖ editi Codices.

50 Cuminum Aethiopicum Regium Hipp. dictum testatur Dioscorides cap. 68. Lib. III. & Plin. cap. 15. Libr. XX. videlicet, quia efficacius ex Aegypto judicatur. Probabilius est sic dictum per ἀντονομασίαν, quod regia mensa dignum esset. Cuminum autem potum aut illitum colorem pallidum reddit, unde pallens dicitur, ut pallentes curæ, quod pallorem inferant, ut adnotavit Foes. Ib. ἐκ κεφαλῆς videntur legisse Galen. & Corn. cum intelligantur ea, quæ pituitam evocant.

51 Hunc locum Calvus longe aliter profert.

52 χρώματα τοῖσι βελτίονα legit Imper. Samb.

bus, annis similia. Quæ vivunt non atteruntur, si melioribus moderate utantur; quemadmodum parva hydria recens transmittit, vetus facta retinet; sic ventriculus alimentum transmittit, & fæcem, veluti vasculum, retinet.

49 μετρίως βελτίω," "Ωσπερ [53] ὑδρήϊον νέον διαπηδᾷ, παλαιούμενον στέγει· οὕτω καὶ ἡ γαστὴρ διΐει τὴν τροφὴν, καὶ ὑποστάθμην ἴσχει ὥσπερ ἀγγεῖον.

CAPUT V.

Morborum modi qui? Morbi temporibus pares; tempora, quæ morbos judicatu faciles pariant.

MOdi morborum sunt hi; partim quidem congeniti sunt, quos interrogando licet cognoscere; partim a regione proficiscuntur (multis enim sunt regionibus familiares ac multi ipsos norunt) partim ex corpore, & victus ratione, & morbi constitutione, vel ab anni temporibus. Regiones autem ad anni tempora male affectæ, tales morbos pariunt, quale fuerit tempus, cui sunt similes, verbi gratia inæqualis calor aut frigus, si eodem die, quum talia fuerint, autumnales morbos in regione creabunt; hæcque ratio in cæteris tempestatibus servabitur: alii quidem ab odoribus cœnosis, aut palustribus, alii vero ab aquis, calculosi, lienosi; alii a ventis tum bonis, tum malis oriuntur. Quales vero futuri sunt anni temporis morbi, tales etiam ex his constitutiones erunt, si anni tempora tempestivam & ordine procedentem temperiem habuerint, morbos judicatu faciles faciunt; vernaculi vero temporum morbi indicant mutationes, & prout tempus variaverit, similes, aut dissimiles morbi erunt, qui eo tempore oriuntur. Si vero similiter procedat, morbi quoque hujusmodi erunt, & ad talem modum deducentur, qualis est morbus regius autumnalis; frigora enim ex caloribus, & calor ex frigore. Et si æstas biliosa fiat, & bilis aucta intus relicta sit, etiam aliquantulum lienosi fiunt. Quum igigitur & ver ita processerit, vere etiam morbi regii nascentur; hic enim motus est secundum hanc speciem tempori anni proximus. At quum æstas fuerit veri similis, sudores in febribus, eæque faciles, & non peracutæ, neque linguæ aridæ fient. Cum autem ver hybernum fuerit, & extremæ hyemis frigora senserit, hyberni etiam

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Οἷοι τῶν νούσων τρόποι; οἷαι ὧραι, τοῖαι νοῦσοι· αἱ ὧραι τὰ νουσήματα ποιέουσι κρίνεσθαι εὔτροπα.

ΟΙ τρόποι τῶν νούσων· τὰ μὲν συγγενικά
ἐστιν εἰδέναι πυθόμενον, καὶ τὰ ἀπὸ
τῆς χώρης [54] οἰκέονται γὰρ διὰ πλειόνων,
καὶ πολλοὶ ἴσασι· τὰ δὲ ἐκ τοῦ σώματος καὶ
50 τῶν διαιτημάτων," καὶ [55] καταστάσιος
τῆς νούσου, ἢ ἀπὸ ὡρέων. Αἱ δὲ χῶραι
πρὸς τὰς ὥρας κακῶς διακείμεναι, τοιαῦτα
τίκτουσι νουσήματα, ὁκοίῃ ἂν ὥρῃ ὁμοῖαι
51 ἔωσιν· οἷον " ἀνώμαλον θάλπος, ἢ ψῦχος,
τῆς αὐτῆς ἡμέρης, ὅταν τοιαῦτα ποιέῃ φθινοπωρινὰ
ἐν τῇ χώρῃ τὰ νουσήματα, καὶ ἐν
52 τῇσιν ἄλλῃσιν ὥρῃσι κατὰ λόγον." Τὰ
μὲν ἀπὸ ὀδμέων [56] βορβορωδέων ἢ ἑλωδέων.
Τὰ δὲ ἀπὸ ὑδάτων λιθιῶντα, σπληνώδεα·
τὰ δὲ ἀπὸ πνευμάτων χρηστῶν τε, καὶ κακῶν
53 ἄρχονται. [57] "Ὥρης δὲ οἷαι ἔσονται,
(τοῖαι αἱ) νοῦσοι, καὶ καταστάσιες ἐκ τῶν δὲ·
ἢν αἱ ὧραι ὡραίως, εὐτάκτως, εὐκρινέας νούσους
ποιέουσιν· αἱ δὲ ἐπιχώριοι τῇσιν ὥρῃσι νοῦσοι
δηλοῦσι τοὺς τρόπους. Ὅ, τι δ' ἂν ἐξαλλάξῃ
ἡ ὥρη, ὅμοια ἢ ἀνόμοια ἔσται τὰ νουσήματα,
οἷα ἐν τῇ ὥρῃ ταύτῃ γίνεται. Ἢν
δ' ὁμοίως ἄγῃ, ἢ τοιουτότροπα καὶ ἐπὶ
τοιοῦτο εἱλκυσμένα, οἷον ἴκτερον φθινοπωρινόν·
ψύχεα γὰρ ἐκ θαλπέων, καὶ θάλπος
ἐκ ψύχεος. Καὶ ἢν τὸ θερινὸν χολῶδες γένηται,
καὶ αὐξηθὲν ἐγκαταλειφθῇ, καὶ
54 ὑπόσπληνοι." Ὅταν οὖν καὶ [58] τὸ ἦρ οὕτως
ἀγάγῃ, καὶ ἦρος γίνονται ἴκτεροι· ἐγγυτάτω
γὰρ αὕτη ἡ κίνησις τῇ ὥρῃ κατὰ
τοῦτο τὸ εἶδός ἐστιν. Ὅταν δὲ θέρος γένηται ἦρι
ὅμοιον, [59] ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι, καὶ εὔτροποι,
καὶ οὐ [60] κατοξέες, οὐδὲ κατάξηροι γλώσ-
55 σῃσιν. Ὅταν δὲ χειμέριον γένηται ἦρ" καὶ
ὀπισθοχειμὼν, χειμεριναὶ καὶ αἱ νοῦσοι, καὶ
βηχώδεες, καὶ περιπνευμονικαὶ, ἢ κυναγ-
60 χικαί. Καὶ [61] φθινοπώρου, ἢν μὴ ἐν
ὥρῃ καὶ ἐξαίφνης χειμάσῃ, μὴ συνεχῶς
τοι-

VARIÆ LECTIONES.

53 Ὑδρήϊον exponitur Galen. in Exegesi ἡ μικρὰ ὑδρία, ὑποκοριστικῶς, parva hydria: diminutive, urnula, parvum vas aquarium. παλαιούμενον δὲ στέγει legit Mercur. in margine. Ibid. ἔχει pro ἴσχει Idem.

54 οἱ κέονται ex MStis legit Servin.

55 καὶ τῆς καταστάσιος τοῦ ὅλου legit Foes. quam lectionem secuti videntur Galeni Comment. & Cornar. καταστάσιος νοσώδεος, ἢ ἀπὸ ὥρης Imp. Cornar. legit.

56 βαρβωδέων legunt MSta Reg. rectius vero βορβορωδέων legitur, quod notat Foes. Ibidem τὰ δὲ ἀπὸ πνευμάτων alii volunt hisce, non ventos significari; sed aerem, quem inspiramus. vid. Galen. comment.

57 περὶ καταστάσιων τῶν ὡρῶν legunt MSt. Reg. At in Imper. Samb. περὶ καταστάσιος ὡρῶν. Sed id nihil aliud est; quam ejus, quod continetur, argumentum, qualia frequentia adscripta ad oram sunt in Imper. Sambuci.

58 ὁ ἀὴρ MSta quædam & Vaticana. ἦρ vero Aldina exempl. sed τὸ ἦρ aut ἔαρ legit Foesius cum Galeno & Cornar.

59 ἱδρῶτες Imp. Cornar.

60 Sic Æmil. Port. κατόξεες ed. Codd.

61 φθινόπωρον Foes. leg. cum interpretibus, sed nihil immutandum cum Ellipsis elegans intelligatur & frequens. ἐν ὥρῃ, scilicet.

τοιαύτας νούσους ποιέει, διὰ τὸ μὴ ἐν ὥρῃ ἤρχθαι, ἀλλὰ ἀνώμαλα γίνεσθαι· διόπερ καὶ αἱ ὧραι ἄκριτοι καὶ ἀκατάστατοι γίνονται· ὥσπερ καὶ αἱ νοῦσοι, ἐὰν προεκρηγνύωνται, ἢ προεκκρίνωνται, ἢ ἐγκαταλείπωνται· φιλυπόστροφοι γὰρ καὶ αἱ ὧραι γίνονται, ὥσπερ αἱ οὕτω νουσοποιέουσαι. Προσλογιστέον οὖν, ὁκοίως ἂν ἔχοντα τὰ σώματα αἱ ὧραι παραλαμβάνωσι.

morbi, & tusses, & peripneumoniæ, & anginæ fiunt. Autumnus quoque si non in tempore, ac derepente hybernarit, non assi-
57 due tales morbos facit, propterea quod non in tempore incepit, sed inæqualiter fit; ideo etiam tempora judicatione carent, & instabilia fiunt; sicut & morbi si ante tempus erumpant, aut prius excernantur, aut intus relinquantur; recidivas enim quoque tempora faciunt, sicut & ejusmodi morbos pariunt. Itaque insuper considerandum est, quomodo affecta sint corpora, quum ab anni temporibus excipiuntur.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τῶν ὡρέων ἀνωμαλία ποιέει τὴν τῶν νούσων κρίσιν χαλεπωτέρην· ὑπόστροφοι καὶ αἱ ὧραι γίνονται.

Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί· ὅταν οὗτος δυναστεύῃ, τοιουτότροπα ἐν τῇσι νούσοισι πάσχουσιν· ἕλκεα μαδαρὰ, μάλιστα στόμα, αἰδοῖον, καὶ τ' ἄλλα. Ἢν δὲ βόρειον, βῆχες, φάρυγγες, κοιλίαι σκληρότεραι, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι μᾶλλον τὰ νουσήματα. Ἢν μᾶλλον πλεονάζῃ, αὐχμοῖσιν οἱ πυρετοὶ ἕπονται, καὶ ὄμβροισιν, ἐξ ὁποίων ἂν οἱ πλεονασμοὶ μεταπέσωσιν, καὶ ὅκως ἂν ἔχοντα τὰ σώματα παραλάβωσιν ἐκ τῆς ἑτέρης
117 ὥρης, καὶ ὁκοίου τινος οὖν χυμοῦ δυναστεύοντος ἐν τῷ σώματι. Ἀτὰρ ἀνυδρίαι νότιαι, βόρειαι· διαφέρει γὰρ καὶ τ' ἄλλα οὕτω· μέγα γὰρ καὶ τοῦτο· ἄλλος γὰρ ἐν ἄλλῃ ὥρῃ, καὶ χώρῃ, μέγας· οἷον τὸ θέρος, χολοποιόν· ἦρ, ἔναιμον· καὶ τ' ἄλλα ὡς ἕκαστα. Αἱ μεταβολαὶ μάλιστα τίκτουσι νουσήματα, καὶ αἱ μέγισται μάλιστα· καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ, καὶ ἐν τοῖσιν ἄλλοισι· τὰ δὲ ἐκ προσαγωγῆς γίνεται· αἱ ὧραι αὗται ἀσφαλέσταται, ὥσπερ καὶ δίαιται, καὶ ψῦχος, καὶ θάλπος μάλιστα ἐκ προσαγωγῆς· καὶ ἡλικίαι οὕτω μεταβαλλόμεναι. Φύσιες δὲ ὡς πρὸς τὰς ὥρας· αἱ μὲν πρὸς θέρος· αἱ δὲ πρὸς χειμῶνα [62] εὖ καὶ κακῶς πεφύκασιν· αἱ δὲ [63] πρὸς χώρας, καὶ ἡλικίας, καὶ διαίτας, καὶ [64] τὰς ἄλλας καταστάσιας τῶν νούσων. Ἄλλαι πρὸς ἄλλας [65] εὖ καὶ κακῶς πεφύκασι· καὶ ἡλικίαι πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας, καὶ πρὸς καταστάσιας νούσων. Καὶ ἐν τῇσιν ὥρῃσι δίαιται, καὶ σιτία, καὶ ποτὰ, οἷα· ὅτι ὁ μὲν χειμὼν ἀργὸς

CAPUT VI.

Temporum inæqualitas morborum judicationem difficiliorem reddit; tempora etiam recidivas faciunt.

58 Austri auditum gravant, oculis caliginem inducunt, capitis gravitatem concitant, torporem faciunt, dissolvunt; quum hic ventus dominatur, talia in morbis patiuntur, ulcera madentia os præsertim, pudenda aliasque partes occupant. Si vero aquilo, tusses, faucium asperitates, alvi duriores, urinæ difficultates, horrores, laterum, pecto-
59 risque dolores: hoc autem dominante, tales morbos magis expectare oportet. Si magis invaluerit siccitates febres consequuntur, itemque imbres, ex quibus utique redundantiæ inciderint; & quomodocunque sese habentia corpora, ex alio anni tempore (quid) susceperint, & quicunque tandem humor in corpore prævaluerit. Sed siccitates austrinæ, aquilonaresque sunt; differunt enim, & alia hoc modo; nam & hoc magnum est; alius enim alio tempore, atque in alia regione ma-
60 gnus est: ut æstas, bilem; ver, sanguinem parit; & alia tempora, ut singulorum fert natura. Mutationes potissimum morbos pariunt, præcipueque maximæ, & in anni temporibus magnæ mutationes, itemque in aliis; quædam sensim accessione facta fiunt; atque hujusmodi tempora sunt securissima; sicut etiam diætæ, & frigus, & calor maxime progressu sensim facto; itemque ætates ita commutantur. Naturæ quod ad anni tempora attinet, aliæ ad æstatem, aliæ ad hye-
61 mem, bene aut male affectæ sunt; aliæ ad regiones, ætates, diætas, & alias morborum costitutiones, aliæ ad alias bene aut
62 male se habent; & ætates ad tempora, & regiones, & diætam, & morborum constitutiones. Atque in temporibus diætæ, cibi ac po-

Variæ Lectiones.

62 ἢν ᾖ κακῶς, Imper. Corn. ὡς δὲ pro αἱ δὲ. Idem.

63 πρὸς χώρας καὶ ὥρας, Imp. Samb. & Fevr.

64 τὰς ἄλλας μεταστάσιας, legit Foes. deinde τῶν νούσων ἄλλας πρὸς ἄλλας ut ὥρας subintelligatur.

65 ἢν ᾖ κακῶς. Imp. Cor.

potus quales sint; nam hyems vacationem habet ab actionibus; & quæ in corpus ingeruntur, ea matura, simpliciaque requirit; hoc enim etiam magnum est: autumnus laboribus est dicatus; insolatus habet crebros potus, cibos instabiles, vina, arborumque fructus.

ἔργων, καὶ πέπονα τὰ εἰσιόντα, καὶ ἁπλᾶ· μέγα γὰρ καὶ τοῦτο· αἱ ὀπῶραι δὲ, ἐργάσιμοι, [66] ἡλιώσιες, τὰ πινόμενα πυκνὰ, ἀκατάστατα σιτία, οἶνοι, ἀκρόδρυα.

CAPUT VII.

Morbos ex temporibus, & ex morbis aquas & ventos dijudicari. Aquæ inter cutem prænotio; colores pro temporum ratione variant.

QUemadmodum autem ex anni temporibus morbos conjectare datur; ita quandoque etiam ex morbis aquas, & ventos, & siccitates, præsagire licet, velut aquilonares, & austrinas constitutiones; hoc enim ei integrum erit facere, qui probe, ac recte didicerit, unde hæc spectanda; veluti & lepræ quædam, & circa articulos dolores, ubi futuræ sunt aquæ, pruritum excitant, & alia hujusmodi. Et quæ pluviæ aut tertio die, aut singulis diebus, aut per alios circuitus aut assiduæ contingunt. Et venti quidam per multos dies flant, & inter se oppositi spirant, alii per pauciores, & iidem per circuitum. Hæc autem habent cum temporum constitutionibus similitudinem, ejusmodi autem breviores. Si vero annus talis magna ex parte fuerit, qualem constitutionem fecerit, tales quoque morbi diutius erunt; ac si graviores fuerint, maximi quoque morbi sic erunt, & communissimi, & ad plurimum tempus. Ex primis aquis, ubi post multam siccitatem, futura aqua est, licet hydropes prædicere; & ubi talia parva signa in ventorum quiete & (aeris) mutatione apparuerint. Colligendum igitur, qui quidem morbi, qualibus aquis aut ventis de se significationem præbeant, neque negligendus est, & audiendus est, si quis norit, quod tali hyeme prægressa, tale ver aut æstas erit. Colores non sunt similes in anni temporibus, neque in æquilonaribus, neque in austrinis constitutionibus, neque in ætatibus, neque cum sibi quispiam, neque alius cum alio collatus: considerandi autem colores sunt ex iis, quæ præsentia, quiescentiaque esse novimus; & ætates similes anni temporibus esse, & colore & modo.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὰς νούσους ἐκ τῶν ὡρέων, καὶ ἐκ τῶν νούσων ὕδατα, καὶ ἀνέμους τεκμήρασθαι. ὑδρώπων πρόγνωσις· ἀνόμοια χρώματα, ὅ, τι ἐξαλλάξῃ ἡ ὥρη.

ΩΣπερ δὲ ἐκ τῶν ὡρέων τὰς νούσους ἐστὶ τεκμήρασθαι, ἔστι ποτὲ καὶ ἐκ
63 τῶν νούσων [67] ὕδατα, καὶ ἀνέμους, καὶ ἀνυδρίας προγινώσκειν· οἷον βόρεια, νότια. Ἔστι γὰρ εὖ μαθόντι καὶ ὀρθῶς, ὅθεν σκεπτέα· οἷον καὶ λέπραι τινὲς, καὶ περὶ τὰ ἄρθρα πόνοι, ὕδατα ὅταν μέλλει, κνησμώδεές εἰσι, καὶ ἄλλα τοιαῦτα. Καὶ τῶν ὑσμάτων οἷα ἢ διὰ τρίτης, ἢ ἑκάστης, ἢ διὰ περιόδων ἄλλων, καὶ τὰ συνεχέα. Καὶ ἀνέμων οἱ μὲν πολυήμεροι πνέουσι, καὶ ἀντιπνέουσιν ἀλλήλοισιν· ἄλλοι δὲ διὰ βραχυτέρων· οἱ δὲ καὶ αὐτοὶ κατὰ περίοδον. Ταῦτα ἔχει τῇσι καταστάσεσιν ὁμοιότη-
64 τας· ἐπὶ βραχύτερον δὲ τὰ τοιαῦτα. [68] Ἢν μὲν ἐπὶ πλέον τὸ ἔτος τοιοῦτο ἔῃ, οἵην κατάστασιν ἐποίησεν, ἐπὶ πλεῖον, καὶ τὰ νουσήματα τοιαῦτα· καὶ ἢν μᾶλλον ἰσχυρότερα, καὶ μέγιστα νουσήματα οὕτως ἐγένετο, καὶ κοινότατα, καὶ ἐπὶ πλεῖστον χρόνον. Ἐκ τῶν πρώτων ὑδάτων, ὅταν ἐξ ἀνυδρίης πολλῆς μέλλῃ ὕδωρ ἔσεσθαι, ἔστι περὶ ὑδρώπων προειπεῖν· καὶ ὁκόταν τ' ἄλλα σμικρὰ σημήϊα φανῇ ἐν νηνεμίῃ, ἐν μεταβολῇ. Συνακτέον οὖν, [69] ὅσαι μὲν ἐφ' οἵοισιν ὕδασιν, ἢ ἀνέμοισιν αἱ νοῦσοι ἐπισημαίνουσι, καὶ
65 ἀκουστέον εἴ τις οἶδεν, ὅτι τοιούτου χειμῶνος [70] προγενομένου, τοῖον ἦρ ἢ θέρος ἔσται. Τὰ χρώματα οὐχ ὅμοια ἐν τῇσιν ὥρῃσιν, οὐδὲ ἐν βορείοισι καὶ νοτίοισιν, οὐδ' ἐν τῇσιν ἡλικίῃσιν, αὐτὸς πρὸς ἑωυτὸν, οὐδ' ἄλλος ἄλλῳ οὐδέν· σκεπτέον δὲ ἐξ ὧν ἴσμεν καὶ παρεόντων, καὶ ἀτρεμεόντων, περὶ χροιῶν· καὶ ὅτι αἱ ἡλικίαι τῇσιν ὥρῃσιν ἐμφερέες εἰσὶ, καὶ χροιῇ, καὶ τρόπῳ.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

66 ἡλιώσιες Imper. Cornar. Ibidem ἀκρόδρυα significant omnes arboreos fructus, præcipue vero, qui in ambitu putamen habent lignosum, eoque concluduntur, ut juglandes, avellanæ, castaneæ, malum punicum, quod genus nucum appellatione Latinis & καρύων Græcis comprehenditur, ut scribit Athenæus Lib. 2.

67 ὕσματα id est pluvias leg. quædam Exempl. pro ὕδατα, ut etiam paulo post, quam etiam lectionem sequuntur Gal. Commentar.

68 ἢ μὲν, Imper. Cornar. ἢ δὲ.

69 ὅσα, Imper. Cornar.

70 προγενομένου, legunt Ald. Exempl. & τοῖον ἦρ εἶτε θέρος ἔσται.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Αἱμοῤῥοΐδας ἔχοντες ποίαις νόσους οὐχ ἁλίσκονται.

Οἱ αἱμοῤῥοΐδας ἔχοντες, οὔτε πλευρίτι- 66
δι, οὔτε περιπνευμονίῃ, οὔτε φαγε-
δαίνῃ, οὔτε δοθιῆσιν, οὔτε [71] θερμίνθοισιν
ἁλίσκονται· ἴσως δὲ οὐδὲ λέπρῃσιν," ἴσως 67
δὲ οὐδὲ [72] ἀλφοῖσιν. Ἰητρευθέντες γε μὴν
ἀκαίρως," [73] συχνοῖσι τοῖσι τοιούτοισιν οὐ βρα- 68
δέως ἥλωσαν, καὶ ὀλέθρια οὕτως." Καὶ ὅ- 69
σαι ἄλλαι [74] ἀποστάσιες, οἷον σύριγγες, ἑτέ-
ρων ἄκος." Ὅσα πέφυκεν ἐπιφαινόμενα 70
παύειν, ῥύεται τούτων [75] προσγενόμενα
κωλύματα [76] ἀλλ' οἷσιν αἱ κοινωνίαι." 71
[77] Οἱ ὕποπτοι τόποι, ὑποδεξάμενοι πόνῳ,
ἢ βάρει, ἢ ἄλλῳ τινὶ, ῥύονται." ἀλλ' 72
οἷσιν αἱ κοινωνίαι. Διὰ τὴν ῥοπὴν οὐκ ἔτι
αἷμα ἔρχεται, ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν
συγγενείην τοιαῦτα πτύουσιν. Ἔστιν οἷσιν
αἷμα ἀφίεσθαι ἐν καιρῷ, ἐπὶ τοῖσι τοιού-
τοισιν, ἐπ' ἄλλοισι δὲ ὥσπερ ἐπὶ τούτοισι,
τοῦτο οὐκ εἰκός." Κώλυσις ἐπὶ τοῖσι δὲ 73
δὴ αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις,
χολή." Τὰ παρὰ τὸ οὖς, ὁκόσοισιν ἂν ἀμ- 74
φὶ κρίσιν γινόμενα, ἢν μὴ ἐκπυήσῃ, [78] τού-
του ἀπαλλασσομένου ὑποστροφὴ γίνεται, καὶ
κατὰ λόγον τῶν ὑποστροφέων [79] τῆς ὑποστρο-
φῆς κρινόμενα, αὖθις αἴρεται καὶ παραμέ-
νει. [80] Ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ,
ἐν ὁμοίῃ περιόδῳ· ἐπὶ τούτοισιν ἐλπὶς ἐς ἄρ-
θρα ἀφίστασθαι. Οὖρον παχὺ, λευκὸν,
οἷον τὸ τοῦ Ἀρχιγένεος, ἐπὶ τοῖσι κοπιώδεσι
τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται, καὶ ῥύε-
ται τῆς ἀποστάσιος· ἢν δὲ πρὸς τούτῳ καὶ
αἱμοῤῥαγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς" καὶ πά- 75
νυ. Καὶ [81] ᾧ τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθρητι- 76
κῷ πάθει ἐγένετο, ἦν ἡσυχαίτερος· ἐπεὶ δὲ
τοῦτο ἰητρεύθη, ἐπιπονώτερος.

CAPUT VIII.

Hæmorrhoidarii, quibus morbis non corripiuntur.

Qui hæmorrhoides habent, ii neque pleuritide, neque pulmonis inflammatione, neque ulcere exedente, neque furunculis, neque tuberculis; fortassis vero neque lepra, ac fortassis neque vitiliginibus corripiuntur. Intempestive tamen curati frequentibus ejusmodi morbis non multo post correpti sunt; iisque ita perniciosis. Et quicunque alii abscessus, ut fistulæ, aliorum medela sunt. Quæcunque suapte natura supervenientia sedant, ea cum prius fiunt veluti impedimenta ab his liberant, sed quibuscum communicatio est. Suspecta loca, aut dolore, aut gravitate, aut ob aliud quiddam liberant, quum exceperint, sed quæ communicationem habent. Ob inclinationem non amplius sanguis prodit, sed juxta humoris cognationem talia expuunt. Est interdum sanguinem detrahere iis, qui hujusmodi sunt; in aliis vero, ut in iis, non par est. Impedimentum certe in cruenta expuentibus tempus anni, pleuritis, bilis. Quibus circa crisim juxta aures exorta tubercula minime suppurarint, iis subsidentibus, reversio fit: ac pro recidivarum ratione dum reversione judicantur, rursum attolluntur ac permanent, quemadmodum febrium reversiones in simili circuitu, in his spes est ad articulos abscedere. Urina crassa, alba, qualis Archigenis erat, in febribus lassitudine obortis quarto die interdum prodit, abscessuque liberat: si præterea sanguis etiam e naribus abunde, copioseque fluat. Cui intestinum in dextra parte dolebat, & articulari affectu correptus erat, quietior fuit; quum autem hic sanatus fuit, magis doluit.

Variæ Lectiones.

71 Imperialis Sambuci hoc habet Scholion. θέρμινθός ἐστιν ἀπόστημα, περὶ τὴν ἐπιφάνειαν γινόμενον μετὰ φλυκταινώσεως, ἧς ῥαγείσης, ἰχῶρες ἀποῤῥεῖ καὶ ἡ ὑποκειμένη σὰρξ κατατετριμμένη φαίνεται. id est: tuberculum est abscessus in superficie nascens cum pustularum eruptione; quibus ruptis sanies, quæ serosa effluit, & subjecta caro videtur contrita.

72 ἄλφοισι, legisse videtur Galenus.

73 συχνοὶ, leg. Corn. Gal. & Imp. Corn. quam lectionem secutus est Foes. ex Lib. VI. Epid. & Servinus.

74 ὑποστάσιες pro ἀποστάσιες, legitur in Epid. & longe aliter.

75 προγενόμενα, legisse Galenum adparet ex Comment. Lib. VI. Epid.

76 Sic Servin. pro ἄλφοισι legit, quam lectionem amplexi sumus. Hæc vero valde suspecta videntur Foesio, ideo quod in Epidem. & a Cornario omittantur, etsi possunt ad sequentia referri. Ibidem pro ῥοπὴν, τροπὴν. i. e. conversionem legunt, sanguinis mutationem intelligentes in varios humores, uti Galen. hunc in locum animadvertit.

77 ἄλλου τόπου ὑποδεξάμενοι videntur legisse Galeno attributi Commentarii, & Cornar. quæ lectio notante Foesio ex Libr. VII. Epid. desumta videtur. Cujus magnam esse in Codd. varietatem cum indicent Galeno hic attributi Commentarii, & Gal. Comm. in Libr. VI. Epidem. eadem tamen est utrobique notio.

78 τουτέων ἀπαλλασσομένων, legit Servinus.

79 τῆς ὑποστροφῆς γινομένης legisse videtur Cornar. & Galen. ex Lib. VI. Epid.

80 ὥσπερ αἱ περὶ τεταρταίων τῶν πυρετῶν ὑποστροφαί, legit Fevr. Imper. Sambuc. autem ὥσπερ αἱ ἐπὶ τῶν πυρετῶν.

81 ᾧ καὶ ἔντερον ἐπὶ, Imper. Samb.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΡΙΣΙΩΝ.

HIPPOCRATIS DE JUDICATIONIBUS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι

Τὰς τῶν νοσημάτων ἐπὶ τὴν σωτηρίαν τε καὶ θάνατον κρίσιας περιέχει, αἵ περ ἐκ τῶν διαχωρημάτων, καὶ οὔρων, καὶ ἱδρώτων, ἀποστάσεών τε καὶ συμπτωμάτων, καὶ κρισίμων ἡμερῶν, καὶ ὁμοίων παραλαμβάνονται· καὶ τίνα ἐπὶ τῶν πυρετῶν τε καὶ ἄλλων νούσων ὑπάρχει, ἢ ἀγαθὰ, ἢ κακά.

ARGUMENTUM LIBRI.

Judicationes complectitur morborum ad salutem, & perniciem prodeuntium, quæ ex dejectionibus, urinis, sudoribus, abscessibus, symptomatis, diebus judiciariis & consimilibus depromuntur; & quæ in febribus, aliisque morbis tum bona, tum mala sunt.

Basil. Lat. III. 425. pag. 510. — Foesius Sect. II. 20. 52. — Basil. Græc. pag. 385.

CAPUT I.

Qui sudores, quæ dejectiones, urinæ, & magna signa etiam ad melius, securamque crisin portendant.

1 JUDICATIONUM, quæ brevi meliorem statum portendunt, plerumque eadem, quæ sanitatis, signa sunt.
2 Sudores enim optimi sunt, & citissime febrem sedant, qui judicatoriis diebus contingunt, & febrem prorsus submovent; boni quoque sunt, qui per totum corpus oborientes, faciliorem morbi tolerantiam reddunt. Qui vero horum nihil moliuntur, nihil oborti conducunt. Morbo autem ad judicationem tendente, dejectionem crassio-
3 rem reddi oportet; subfulva vero, nec admodum graveolens esto: lumbricos etiam sub judicationem exire commodum est. Urina autem optima est, quæ per totum tempus

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἵτινες ἱδρῶτες, ἅτινά τε διαχωρήματα, καὶ οὖρα, καὶ μεγάλα σημεῖα ταχίστην ἐπὶ τὸ ἄμεινον, καὶ ἀσφαλῆ κρίσιν σημαίνουσιν.

1 ΠΕΡΙ κρισίων συντόμων ἐπὶ τὸ ἄμεινον, τὰ μὲν πλεῖστα ταῦτ' ἐστιν, ἅπερ [1] ὑγίης
2 σημεῖα. Ἱδρῶτες γὰρ ἄριστοί εἰσιν, καὶ τάχιστα πυρετὸν παύοντες, οἱ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσιν γινόμενοι, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάσσοντες· ἀγαθοὶ δὲ καὶ ὅσοι διὰ παντὸς τοῦ σώματος γενόμενοι, εὐπετεστέρως τὸ νόσημα φέρειν ποιήσωσιν. Οἳ δ' ἂν τουτέων τὶ μὴ ἐργάσονται, οὐ λυσιτελέσουσι
3 γινόμενοι. Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου. Ἔστω δὲ τὸ ὑπόπυῤῥον, καὶ μὴ σφόδρα δυσῶδες· ἐπιτήδειον δὲ καὶ ἕλμινθας ἐξιέναι πρὸς τὴν κρίσιν· οὖρον δὲ, ἄριστόν ἐστιν, ὃ ἂν ἔχῃ

VARIÆ LECTIONES.

Præsentem librum de Judicationibus inscriptum in exemplari Vaticano diversum habuisse principium Calvus docet. Videtur liber hic minus genuinus, sed varie ex Prognosticis, Aphorismis & aliis Hippocratis libris, conflatus. Quam ob causam eum non plane a genuinis Hipp. libris separandum duximus. Scopus Auctoris in hoc libro est instruere Medicum, ut judicare possit in morbis, quid futurum sit: utrumne morbus lethalis sit futurus, an salutaris; brevisne, an diuturnus: quod quidem facile assequi poterit, si præsentis libri doctrinam diligenter observabit; ita ut in horum prædictione fere nunquam decipiatur, atque hoc pacto ab omnibus peritus æque, ac diligens existimetur.

1 ὑγιῶν legunt Aldus & Cornarius.

ἔχῃ λευκότατον ὑπόστημα, καὶ λεῖον, καὶ ὁμαλὸν παρὰ πάντα τὸν χρόνον, ἕως ἂν κριθῇ τὸ νόσημα· σημαίνει γὰρ ἀσφαλέα καὶ ὀλιγοχρονίην τὴν νοῦσον ἔσεσθαι. Ἢν ἱδρῶτος ἐγγενομένου ἡ νοῦσος ἐκλίπῃ, καὶ τὸ οὖρον πυῤῥὸν θεωρηθῇ λευκὴν ὑπόστασιν ἔχον, τουτέοισιν αὐθημερὸν ὑποστροφὴ τοῦ πυρετοῦ γίνεται, οὗτος καὶ ἐν πέντε ἀκινδύνως κρίνεται. Τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ὑγιάζεσθαι μέγιστα σημεῖα ἅπαν γίνεται. [2] Ἀπονώτεροι γὰρ διατελέουσιν, καὶ ἀκίνδυνοι, καὶ τὰς νύκτας κοιμέονται, καὶ τὰ ἄλλα σημεῖα προφαίνουσιν ἀσφαλέα.

quoad judicatus fuerit morbus, albissimum, læve, & æquale habet sedimentum; securum enim ac brevem fore morbum indicat. Si suborto sudore morbus cesset, & urina fulva sedimentum habens album conspiciatur, iis eodem die febris reversio fit, atque hæc quinto die citra periculum judicatur. Qui brevissimo tempore sani evasuri sunt, iis in totum maxima signa contingunt.

4 Nam magis citra dolorem & extra periculum degunt, & noctu dormiunt, cæteraque securitatis signa præ se ferunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐν πυρετῷ μὴ θανατώδει, τίς ἡ τοῦ τῆς κεφαλῆς ἀλγήματος αἰτία, καὶ πότε ἡ ἀπάλλαξις γίνεται· ἐς τίνας ἡμέρας τε, καὶ διὰ τίνων ἡ τῶν τε ὀξέων, καὶ καύσων πυρετῶν κρίσις γένηται ἄν, καὶ τί ἐν τούτοις ἐπισημαίνῃ ὁ ἴκτερος.

CAPUT II.

In febre non lethali doloris capitis, quæ causa, & quando solutio. Febrium acutarum, & ardentium judicium quibus diebus, & per quæ fiat, & quid in his icterus portendat.

Οἷσιν ἐν πυρετῷ μὴ θανατώδει κεφαλῆς ἄλγημα, καὶ τὰ ἄλλα περιέστηκε σημεῖα, χολὴ τουτέων κρατεῖ· οἷς ἂν ἄρξηται ὁ πόνος τῇσι πρώτῃσιν ἡμέρῃσιν, τεταρταῖοί τε μᾶλλον, καὶ πεμπταῖοι πιέζονται· ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται τοῦ πυρετοῦ. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσιν τὸν ἀριθμόν, ἐξ ὧν ἀπόλλυνται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν περιγίνονται. Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων τεταρταῖοι παύονται, ἢ πρόσθεν. Οἵ τε φονικώτατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσι, ἢ πρόσθεν. Ἡ μὲν οὖν πρώτη ἔφοδος οὕτως τελευτᾷ· ἡ δ' ἑτέρη, ἐς ἑπτὰ περιάγει· ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην· ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην· ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην· ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν· αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων, ἐς τὰς εἴκοσι προσθέσεις. Οὐ δύναται δὲ ὅλαις ἡμέραις οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. Οὐδὲ γὰρ οἱ ἐνιαυτοί τε, καὶ μῆνες ὅλαις ἡμέραις πεφύκασιν, οὐδὲ συνεστήκασιν. Ἐν τοῖσι καύσοισι τὰ ἀγαθὰ σημεῖα γινόμενα, οἷα ἐν τοῖσιν ὑγιεινοῖσι γέγραπται, μείονα μὲν [3] ἐόντα, ἐς τρίτην ἄνεσιν δηλοῖ· παχύτερα δὲ αὔριον πάνυ· παχέα δὲ αὐθημερόν. Ἐν τοῖσι καύσοισιν, ἢν ἑβδομαίῳ ὕστερον ἐπιγένηται ἴκτερος, δῆλον ἱδρῶτος. Τὸ γὰρ νόσημα οὐ φιλέει ἐξιδροῦν, οὐδὲ ἄλλῃ ἀφίστασθαι οὐ-

Quibus in febre minime lethali, capitis dolor, aliaque signa circumsistunt, in his bilis superat. Quibus inceperit dolor primis diebus, quique quarto & quinto die magis vexantur; hi sub septimum diem febre liberantur.

5 Febres vero judicantur in iisdem numero diebus, ex quibus homines intereunt, & quibus superstites evadunt. Mitissimæ namque febres & cum securissimis signis, quarto die aut prius desinunt. Maxime vero lethales, & quæ cum periculosissimis signis contingunt, quarto die aut prius interficiunt. Primus igitur (earum) impetus sic finitur; alter ad septimum deducit: tertius ad undecimum; quartus ad decimum quartum; quintus ad decimum septimum, sextus ad vigesimum. Hæ igitur in acutissimis morbis per quatuor ad viginti accessiones fiunt. Non potest autem horum quicquam integris exacte diebus numerari. Neque enim anni, neque menses integris diebus constare solent. In febribus ardentibus bona signa, si qualia in sanis scripta sunt, oboriantur,

6 minora quidem, quæ fuerint, in tertium diem remissionem indicant; crassiora vero in crastinum omnino, sed crassa eodem die. In febribus ardentibus si post septimum diem morbus regius incidat, (sublati) sudoris indicium est. Non enim exudare morbus, neque alibi unquam abscessum facere consuevit, sed sane-

VARIÆ LECTIONES.

2 Sic legunt exemplaria omnia, sed [illegible] legi mavult Foes. eo quod subsequenti [illegible] respondeat.

3 οὖρα Calvus legisse videtur de urinis istud sumens.

sanescit. Quum calor discesserit & humorem ad se attraxerit, febri judicationem fieri necesse est, & urinas, aut etiam alvi egestiones procedere, aut sanguinis ex naribus fluxionem, vel copiosam mictionem, aut alvi fluxum vehementem, aut sudorem, aut vomitum; mulieri vero etiam mensium viam patefieri. Hæc igitur præcipue judicationem faciunt, aut quodcumque his proxime accedit. Molitur autem & alias judicationes, minus quidem quam has. At si morbus regius in febre ardente septimo die aut postea contingat, & difficilis multi sputi ejectio, tum in ardentibus, tum in aliis febribus, si nullis ex his signis contingentibus febris dimittat; has judicationes pro illis fieri necesse est, aut magnorum tuberculorum abscessum, aut dolores vehementes ex abscessu, aut humorum ex calore colliquationes.

7-8 δαμῆ, " ἀλλὰ [4] ὑγιὴς γίνεται· ἀνάγκη " τοῦ θερμοῦ [5] ἀπιόντος (καὶ) ἐφ' ἑωυτὸ τὸ ὑγρὸν ἑλκύσαντος, τῷ πυρετῷ κρίσιν γενέσθαι· ἢ τὰ οὖρα τὰ ἀποχωρέοντα, ἢ καὶ διαχωρήματα κοιλίης, ἢ αἵματος ἐκ τῶν ῥινέων ῥύσιν, ἢ
9 οὔρησιν πολλὴν, " ἢ [6] διαῤῥοίην ἰσχυρὴν, (ἢ) ἱδρῶτα, ἢ ἔμετον· γυναιξὶ δὲ καὶ ἐπιμηνίων ὁδόν. Μάλιστα μὲν οὖν ταῦτα ποιέει κρίσιν, ἢ ὅ, τι ἂν τουτέων ἐγγὺς γίνεται. Ποιέει δὲ καὶ ἑτέρας κρίσεις ἧττον μὲν τουτέων. Ἴκτερος δὲ ἢν ἑβδομαίῳ ἐπιγένηται, ἢ ὕστερον ἐν καύσῳ, καὶ δυσχερεῖα σιάλου πολλοῦ ἀποχώρησις, ἔν τε τοῖσι καυσώδεσι πυρετοῖσι, καὶ τοῖσιν ἄλλοισιν ἢν μηδενὸς τουτέων τῶν σημείων γενομένων, ἀφίῃ ὁ πυρετὸς, ἀνάγκη τοιάσδε κρίσιας ἀντὶ τουτέων γενέσθαι, ἢ φυμάτων μεγάλων ἀπόστασιν, ἢ ὀδύνας ἰσχυρὰς ἀπὸ τῆς ἀποστάσιος, ἢ τηκεδόνας τῶν ὑγρῶν ἐκ τοῦ θερμοῦ.

CAPUT III.

Ardentis febris ad salutem, mortem, diuturnitatem judicia; in lipyriam & epialum mutatio; huic succedens icterus, bonum, malum, anceps; tertianarum & acutarum febrium judicia.

EOrum, quæ febrem ardentem significant judicationes & remissiones, longior morbus; si vero vehementia fuerint, mors plerumque sequitur. Reliquæ febres ardentes securæ, septimo aut decimo quarto desinunt. Solet autem ad lipyriam devenire, & maxime quadraginta dies occupat, & in epialum transit; & lipyria eodem die prehendit, & dimittit; capitis etiam dolor oritur. Si vero eum lipyria febris per quadraginta dies non dimiserit, sed producta fuerit, dolorque caput detinuerit, ac deliraverit, eum purgato. At febre ardente desinente si morbus regius succedat, non solet amplius sudare, neque alibi usquam abscessum facere, sed sanus evadit. Tertiana ut plurimum septem circuitibus judicatur. Quibuscunque in molestis febribus septimo, nono, aut decimo quarto die morbi regii oriuntur, bonum est; nisi dextrum hypochondrium obduruerit, sin minus, anceps. Acuti morbi

ΚΕΦΑΛΑΙΟΝ Γ'.

δεα, ἄγρυπνα, ἀποςάξαντα, ἑκταῖα κουφι-
σθέντα, νύκτα πονήσαντα, εἰς τὴν αὔριον
ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαν-
τα [185] αἱμοῤῥαγήσει λαύρως. ἆρά γε τὸ
133 ὑδατῶδες οὖρον, τοιοῦτόν τι σημαίνει; " Οἷ-
σιν αἱμοῤῥαγίαι πλείους, [186] προεληλυθότος
χρόνου κοιλίαι πονηρεύονται, [187] ἢν μὴ τὰ
134 οὖρα πεπανθῇ. " [188] Ἐν κρισίμοισι [189] περι-
ψύξεσι [190] τῶν αἱμοῤῥαγιῶν αἱ νεανικαὶ,
135 κάκισαι. " Οἱ καρηβαρικοὶ, κατὰ βρέγμα
ὀδυνώδεες, ἄγρυπνοι, αἱμῤῥαγικοὶ ἄλλως
136 τε, καὶ ἢν [191] τί ἐν τραχήλῳ ἐντείνει. " Τὰ
ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥα-
γεῖ ἄλλως τε, [192] καὶ ἢν μή τι προεῤῥυήκῃ.
137 [193] ἆρά γε φρίξαντα; " [194] Τραχήλου ὀ-
δυνώδεα, ὄμματα ἐξέρυθρα, αἱμοῤῥαγικά.
138 " [195] Οἷσι κοιλίης ἐπιςάσης αἱμοῤῥαγέει,
καὶ ἐπιῤῥιγέει. ἆρα κοιλίη λειεντεριώδης, καὶ
139 ἐπίσκληρος, ἢ ἀσκαρίδες, ἢ ἀμφότερον; "
Οἷσιν ἐξ ὀσφύος, ἀναδρομὴ ἐς κεφαλὴν, καὶ
χεῖρας, ναρκώδεες, καρδιαλγικοὶ, [196] ἰχω-
ρώδεες, αἱμοῤῥαγέουσι λάβρως, καὶ κοιλίη δὲ
καταῤῥήγνυται, τούτοισι [197] ταραχώδεσιν.
140 " [198] Οἷσιν ἐφ' αἱμοῤῥαγίῃ λάβρως πυκνῇ,
μελάνων, συχνῶν διαχώρησις, [199] ἐπιςάσης
δὲ αἱμοῤῥαγοῦσιν, οὗτοι [200] κοιλίης ὀδυνώδεες,
[201] ἅμα δέ τινι ῥύσει εὔφοροι. [202] ἆρα οὗτοι
ψυχροῖς ἐφιδρῶσι πολλοῖς; τὸ ἀνατεταραγ-
μένον ἐν τούτοισιν οὖρον οὐ πονηρὸν, οὐδὲ τὸ
[203] ὑφιςάμενον γονοειδές. ἐπίσυχνον δὲ, οὗ-
τοι

VARIÆ LECTIONES.

182 δύσκολα delet Imp. Samb. id quod etiam fecit Calvus, neque legisse videtur Gal. ut nec scribitur in Cois Prænot.

183 αἱμοῤῥαγεύσαντα ἐπιληπῖικῶς τελευτᾷ, legit Fevr. ἐκρεύσαντα αἷμα, adscribit Imp. Samb. ἐπιληπῖικῶς, idem.

184 τὰ ἴυθυῶ, id est composita leg. Exempl. sine ullo tamen sensu. καὶ ἄγρυπνα. Fevr. & Imp. Samb.

185 αἱμοῤῥαγέει idem & Fevr. qui addit λάβρως.

186 παρεληλυθότος χρόνου leg. Servin.

187 πεπαίνει ἢ χανεύῃ. idem, πεπαίνῃ, Imper. Sambuc. æque habet.

188 αἱ ἐν κρισίμοις, Imper. Samb. & Fevr.

189 περιψύψεις, Imper. Samb. περιψύξεις, Fevreus.

190 ἐκ τῶν αἱμοῤῥαγιῶν νεανικαὶ, Imp. Samb. & Fevr. quædam Exempl. pro κάκισαι, κράτισαι legunt.

191 τις ἐς τράχηλον, Imp. Samb. εἰς τράχηλον. Fevr. & pro αἱμοῤῥαγικὰ, κεφαλαλγικὰ, leg. id. αἱμοῤῥαγικά. Imp. Samb.

192 καὶ ἢν τι προεκρύῃ Imp. Samb.

193 ἆρά γε καὶ φρίξαντα κάτοχα, idem.

194 τραχήλου ὀδυνώδεα ὄμματα ἐξέρυθρα ἰόντα, κεφαλαλγικὰ id.

195 Imp. Samb. ab aliis ita legi adnotat: βλέφαρα, ὀδυνώδεα τὸ αἱμοῤῥαγεῖν τουτέοισι κοιλίην λειεντεριώδη ποιέει, καὶ ἐπίσκληρον, ἢ ἀσκαρίδας ἢ καὶ ἀμφότερα. Exemplaria quædam MSta legunt. ἆρα τὸ αἱμοῤῥοεῖν τούτοισι κοιλίην λειεντεριώδεα ποιέει καὶ ἐπίσκληρον, καὶ ἀσκαρίδας ἢ ἀμφότερα; Quæ lectio ad Exempl. Italica permanavit, etsi in Cois Prænotionibus paulum vitiose retinetur. Cujus scriptionis etiam vestigia retinet Dioscoridis lectio, Galeno attestata ἆρά γε καὶ πρὸς τὸ αἱμοῤῥαγέειν τοιοῦτον.

196 Calvus videtur Galeni lectionem ex codicibus scriptis secutus esse, cum pro ἰχωρώδεες, χολώδεες legit. ἠχώδεες Servinus. Post ἰχωρώδεες καὶ χολώδεες Fevreus, ut & Imper. Samb. ibid. δὲ delet.

197 Pro ταραχώδεσιν, γνῶμαι ταραχώδεες ὡς ἐπὶ τὸ πολὺ Fevr. leg.

198 Οἷσι & λαύρως Imp. Samb.

199 ἐπιςάσης κοιλίης fere pleraque Exemplar. legunt, etsi quædam ἐπίτασις.

200 κοιλίην Imper. Sambuc. legit.

201 ἅμα δέ τισὶ φύσεσιν Fevr. leg. Calvus vero videtur legisse ἅμα δὲ τῇσι φύσεσιν εὔφοροι, ut & Imp. Samb.

202 ἆρά γε οἱ τοιοῦτοι ψυχροῖσι ἐφιδρῶσι πολλοῖσι. τὸ & τουτέοισιν idem legit & Fevreus.

203 Quædam Exemplaria ἐφιςάμενον legunt: meliora vero ὑφιςάμενον habent.

τοι ὑδατώδεα οὐρέουσιν. " 204 Οἷσιν ἐν ἀπὸ 141
ῥινῶν 205 ἐπικώφωσις, κ) νωθρείη μικρὰ ἡ
ἀπόςαξις, ἔχει τὶ δύσκολον· ἔμετος 206
τουτέοισι συμφέρει, κ) κοιλίης ταραχή.
" 207 Ἧσιν ἐκ ῥίγεος πυρετοὶ κοπιώδεες, 142
γυναικεῖα κατατρέχει, τράχηλος δ' ἐν
208 τούτοις ὀδυνώδης, αἱμοῤῥαγικόν. 209
Καὶ διὰ ῥινῶν αἱμοῤῥαγῆσαι, ἐλπίζειν· " 143
τὰ σείοντα κεφαλὴν, κ) τὰ ἠχώδεα, αἱ-
μοῤῥαγέειν, ἢ γυναικεῖα καταβιβάζειν·
ἄλλως τε, κ) ἢν κατὰ ῥάχιν καῦμα παρα-
κολουθήσῃ ἴσως δὲ, κ) δυσεντερικόν. 210
Καὶ " οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχον- 144
δρίου ἐντάσει, ὑπομάκρῳ, ὀγκώδει, 211
αἱμοῤῥαγικοί· 212 φρικώδεες ουτοι.

his urina mala non est, neque quod residet genituræ simile; frequentius vero hi meiunt aquosa. Quibus e naribus in surditate & torpore pauca sanguinis est destillatio, molestum quid habet; vomitus his confert, alvique perturbatio. Quibus ex rigore febres cum lassitudine fuerint, his menstrua decurrunt; cervix autem in his dolens, sanguinis eruptionem portendit. Et per nares sanguinem profundere sperandum est ea, quæ caput concutiunt; & quæ aurium sonitum faciunt, sanguinem profundere, vel muliebria deducere (spes est) tum alias, tum si ad spinam æstus insequetur; fortassis vero & dysenteriam facient. Ventris quoque palpitationes cum hypochondrii tensione sublonga, & tumente, sanguinis eruptionem significant; inhorrescunt autem hi.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τῶν ῥινῶν αἱμοῤῥαγίαι ποικίλα ἐν πόνοις πεοῤῥητικά. Τί πόῤῥω περὶ ῥινῶν αἱμωῤῥαγίην βλέπεσθαι.

ΤΑ' " ἐκ 213 ῥινῶν λάβρα, βίαια, πολλὰ 145
ῥυέντα, ' 214 ἐςιν οἷον εἰς σπασμοὺς
215 προσάγεται· φλεβοτομία λύει. " Αἱ 146
πυκναὶ, κ) κατὰ μικρὰ ἐπαναςάσιες ὑπόξαν-
θοι, γλίσχραι, ἔχουσαι μικρὰ 216 κοπρώ-
δεα μεθ' ὑποχονδρίȣ ἀλγήματος κ) πλευροῦ,
ἰκτεριώδεες. 217 Ἆρα δὲ ἐπιςάντων αὐτῶν
οὗτοι ἐκλύονται; οἶμαί τε κ) αἱμοῤῥαγέειν;
τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν του-
τέοισιν αἱμοῤῥαγικά. " Ὑποχονδρίου ἔντασις
μετὰ καρηβαρίης, κ) 218 κωφώσεως, κ) τὰ 147
πρὸς αὐγὰς ὀχλέοντα, αἱμοῤῥαγικά. " 219
Ἑνδεκαταίοισι ' ςάξιες δύσκολαι, ἄλλως τε, 148
κ) ἢν ἐπίςαξῃ. " Τὰ ἐν φρίκησιν ἅμα ἱδρώ-
σαντα κρισίμως, εἰς δὲ τὴν αὔριον φρίξαντα 149
παραλόγως 220 ἀγρυπνέοντα, αἱμοῤῥαγή-
σειν οἴομαι. ' Οἷσιν ἐξ ἀρχῆς αἱμοῤῥαγίαι 150

CAPUT X.

Narium hæmorrhagiæ varia in morbis præsagia. Quid porro circa narium stillicidia observandum?

QUæ e naribus copiosa, violenta, multa fluxerint, ad convulsiones interdum deducunt; venæ sectio solvit. Frequentes in parvis intervallis egestiones subflavæ, viscosæ, stercoracea pauca habentes, cum hypochondrii, & lateris dolore, morbum regium prænunciant. Num autem his suppressis hi exolvuntur, simulque sanguinem profundunt? lumborum tensio his, & dolores sanguinis eruptionem significat. Hypochondrii tensio cum capitis gravitate, & surditate, & ad splendorem visum turbantia, sanguinis denuntiant profusionem. Undecimo die sanguinis stillicidia difficilia; tum alias, tum si superstillaverint. Qui in horroribus simul judicatorie sudarunt, postridie vero, ubi inhorruerint, præter rationem vigilant, hos san-

VARIÆ LECTIONES.

204 οἷσιν ἀπὸ Imper. Sambuc.
205 ἐπὶ κωφῶν Servinus. ἐπὶ κωφώσει κ) νωθρίῃ, μικρὰ ἀπόςαξις ἔχει τὶ δύσκολον, ἔμετος τουτέοις συμφέρει, κ) κοιλίης ταραχή. Fevreus legit deleto ἡ cum quibusdam Exemplaribus. ibidem ἡ delet Imper. Samb.
206 τούτοισι idem legit.
207 οἷσιν vulg. Exempl. melius ᾗσιν scribitur in Coac. prænot. sed tunc quoque ταύτῃσιν legendum, quemadmodum fecit Servinus. αἷς ἐκ ῥίγεος vult Fevreus.
208 τούτοισι leg. Imp. Samb. ib. τὸν αἱμοῤῥαγικὸν leg. Æmil. Port.
209 κ) διὰ ῥινῶν αἱμοῤῥαγῆσαι, ἐλπίζειν. Hæc verba delet Imp. Sambuc. Servin. & Fevreus. sed incipit: τὰ σείοντα κεφαλὴν, κ) τὰ &c. Imp. Sambuc. Fevreus autem deletis prioribus incipit τὰ σείοντα κεφαλὰς, κ) τὰ ἠχώδεα αἱμοῤῥαγέει, κ) γυναικεῖα καταβιβάζει & ibidem παρακολουθῇ. αἱμοῤῥαγέει καταβιβάσει, pro αἱμοῤῥαγέειν καταβιβάζειν Codd. impressi.
210 καὶ delent Fevreus & Imper. Sambuc.
211 αἱμοῤῥαγικοὶ legit Fevreus.
212 κ) φρικώδεες Imper. Sambuc.
213 Τὰ ἐκ ῥινῶν Imper. Sambuc. & Fevr. τὰ deest in editis.
214 Pro ἕτοιμον εἰς σπασμοὺς substituit ἐςιν οἷον Galenus, quam lectionem secuti sunt interpretes. ἐςιν ὅτε Servinus & Oporæus, sic in Coac. Prænot. legitur. ἐςὶ δ' οἷον Fevreus & Imper. Sambuc.
215 προάγεται Fevreus legit. ibidem ἐπαναςάσιες quædam Exemplaria legunt pro ἀναςάσιες.
216 κοπρώδεα legit Imper. Samb.
217 Reliquum hujus sententiæ sic legit cum Fevreo Imper. Sambuci: ἆρά γε ἐπιςάντων τούτων ἐκλύονται; οἶμαί τε κ) αἱμοῤῥαγέειν τουτέους· τὰ γὰρ ἐς ὀσφὺν ἀλγήματα ἐν τουτέοισιν αἱμοῤῥαγικά. id est: An hisce excitatis exsolvuntur? Puto autem hos quoque sanguinem fusuros; dolores enim lumborum in hisce sanguinis eruptionem significant. Ibidem pro ἐκλύονται in Coac. Prænot. legitur ἐκχλιοῦνται, quod sæpius occurrit, & τὸ ἐκχλιοῦσθαι ἐκλύεσθαι explicat Galenus, quod hic non est assecutus Calvus. In quibusdam Exemplaribus τουτέοις τάσις ὀσφύος legitur.
218 κωφώσιος, κ) τὰ πρὸς αὐγὰς ὀχλέοντα αἱμοῤῥαγικά. Impolis Sambuc. habet.
219 αἱ ἑνδεκαταίαι ςάξιες δύσκολοι, ἄλλως τε κ) ἐὰν τὶς ἐπιςάξῃ Imp. Samb. ἐὰν ἐπιςάξῃ Galen. leg. quæ lectio melior est. αἱ ἑνδεκαταῖαι MSta Reg. & Fevreus legunt.
220 τὰ πεπαρημένα αἱμοῤῥαγήσειν οἴομαι. Exempl. tum scripta, tum publicata leg. Fevr. πεπαρημένων, quod exponitur χαλωμένων. quam lect. consulto cum Interpretibus omisit Foes. quum nulla in Galeni Codic. fiat mentio.

sanguinem effusuros esse arbitror. Quibus ab initio largæ sanguinis eruptiones, rigor fluxionem sistit. (Si copiosa supervenerit sanguinis profusio, in contrarium revellitur.) Ex hæmorrhagia rigores longi. Quibus capitis & cervicis dolores, atque totius corporis cum tremore imbecillitas, quædam eos sanguinis eruptiones liberant; sed & tempore ita liberantur. Urinæ, quibus abscessus post aures fiunt, si celeriter, & exigue concoquantur, vitiosæ; & ita refrigescere, malum. Aliquantulum soporati, icterici, non admodum sentientes; quibus singultus, alvus his erumpit, fortassis & suppressio; hi exolvuntur; an & his parotides fiunt? Suppressæ cum rigore urinæ, malæ, tum alias, tum si sopor præcesserit; num juxta aures abscessus in his fore spes est? Ex torminoso sedimentum limosum, sublividumque, malum; an ex hypochondriis dolet? puto dextrum, & exolvitur; num parotides talibus parum dolorificæ? alvus copiose fluens his (in omnibus) perniciosum; in anxiis quibusdam pervigiliis parotides maxime. Ex volvulis graveolentibus, cum febre acuta, hypochondrioque sublimi inveteratius permanente, parotides exurgentes enecant. Ex surditate moderate parotides fiunt, tum alias, tum siqua jactatio supervenerit, & soporosis inter hos adhuc magis. In leviter sideratis parotides malæ sunt.

151 λαῦραι, ῥῖγος ἵϛησι [221] ῥύσιν. " [222] (Ἐὰν
δὲ ἐπιγένηται λαύρα αἱμοῤῥαγίη, ἀντισπᾶ-
ται.) Τὰ ἐξ αἱμοῤῥαγίης ῥίγεα, [223] μακρά.
152 " Οἷσι κεφαλαλγίαι, καὶ τραχήλου [224] πό-
νοι, καὶ [225] ὅλου δέ τις ἀκράτεια τοῦ σώματος
τρομώδης, [226] αἱμοῤῥαγίαι λύουσιν· ἀτὰρ
153 καὶ χρόνῳ οὕτω λύονται. " [227] Οὖρα τοῖσι
παρ' ὦτα, ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμε- 413
να, φλαῦρα· καὶ τὸ καταψύχεσθαι ὧδε πο-
154 νηρόν. " [228] Τὰ ὑποκαρώδεα ἰκτερώδεα, οὐ
πάνυ αἰσθανόμενα· οἷσι λύγγες κοιλίη καταῤ-
ῥήγνυται· ἴσως καὶ ἐπίϛασις, οὗτοι ἐκλύον-
ται· ἆρα τούτοισι, καὶ τὰ παρὰ τὰ ὦτα;
155 " [229] Τὰ ἐπεσχημένα μετὰ ῥίγεος οὖρα,
πονηρά· ἄλλως τε, καὶ προκαρωθέντα [230]
156 τὰ παρ' οὖς· ἆρα ἐπὶ τούτοισιν ἐλπίς; " [231]
Ἐκ στροφιωδέων, ὑπόϛασις ἰλυώδης, ὑποπέ-
λιος, κακόν· ἆρά γε [232] ἐκ τῶν ὑποχονδρίων
ὀδυνᾶται; δοκέω δὲ δεξιόν, ἐκλύονται· [233] ἆρα
τὰ παρ' ὦτα τοιούτοισιν, ὀδυνώδεα ἐπ' ὀλί-
γῳ; κοιλίη καταῤῥαγεῖσα τουτέοισιν [234] (ἐν
157 ἅπασιν) ὀλέθριον. " Ἔν τισιν ἀσώδεσιν
158 [235] ἀγρυπνίῃσι, τὰ παρ' οὖς μάλιϛα. " [236]
Ἐπὶ εἰλεοῖσι δυσώδεσι πυρετῷ ὀξεῖ, [237] ὑπο-
χονδρίῳ μετεώρῳ χρονιωτέρῳ, τὰ παρ' οὖς
159 ἐπαρθέντα κτείνει. " Ἐκ κωφώσιος [238] ἐπιει-
κῶς τὰ παρ' ὦτα· ἄλλως τε, καὶ ἢν ἀσῶδές
τι ἐπιγένηται, καὶ τοῖσι κωματώδεσιν, ἐπὶ
160 τουτέοισι [239] μᾶλλον. " Τὰ παρ' ὦτα φλαῦ-
ρα τοῖσι παραπληγικοῖσι.

CAPUT XI.

Ex hæmorrhagia convulsio: alvi quæ icterum subindicent? futuræ narium hæmorrhagiæ præsagia, & de eadem judicia. De Ictericorum præsagiis & parotidibus. Abscessus juxta aures quibus accidant, & de iisdem judicia.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἐξ αἱμοῤῥαγίας σπασμός· κοιλίαι, ἥτινες ἴκτερον ὑποσημαίνει; μελλούσης τῶν ῥινῶν αἱμοῤῥαγίας προῤῥητικά, καὶ περὶ αὐτῆς κρίσεις. Περὶ τῶν ἰκτερικῶν προῤῥητικῶν καὶ παρωτίδων. Ἀποϛάσιες παρ' οὖς, τίσι γένωνται; καὶ περὶ αὐτέων κρίσεις.

QUæ convulsivo modo cum alto stupore exacerbantur, parotides movent.

161 ΤΑ' " σπασμώδη τρόπον παροξυνόμενα
162 κατόχως, τὰ παρ' οὖς ἀνίϛησιν. " Τὸ
σπα-

VARIÆ LECTIONES.

121 ῥύσιν Imper. Samb. delet cum Fevreo.
122 Ἐὰν δὲ ἐπιγένηται λαύρη αἱμοῤῥαγίη, ἀντισπᾶται Galenus legit, quam lectionem amplexi sumus. Hæc non habent Codd. Impressi, nec Imp. Samb. sed tantum quæ sequuntur, & quidem hoc modo: τὰ ἐξ αἱμοῤῥαγίης ῥίγεα, πονηρά, id est: ex sanguinis effusione rigores, mali.
223 Manuscript. Reg. πονηρὰ non μακρά legunt.
224 τόνος Galenus, & quædam Exemplaria, quam lectionem secutus est Foesius.
225 ὅλου δὲ τοῦ σώματος τὸ ἄκρα τρομώδη Fevreus legit.
226 αἱμοῤῥαγικαί & οὕτω χρόνῳ λύονται idem. αἱμοῤῥαγίαι Imperial. Sambuc.
227 τὰ οὖρα idem. παρὰ τὰ ὦτα Fevreus.
228 τὰ ὑποκαρώδεα, καὶ ἰκτερώδεα, οὐ πάνυ αἴτια αἰσθανόμενα. λύγγες, κοιλίας καταῤῥήγνυται, ἴσως δὲ ἡ ἐπίϛασις· οὗτοι ἐκλύονται. Imper. Sambuc. κοιλίαι legit Fevr. & pro ἐκλύονται in Coac. Prænot. ἐκχλοιοῦνται legitur. Calvus hanc sententiam perturbavit.
229 ἐπισχόμενα Imperial. Sambuc.
230 ὦτα idem legit. τὰ ὦτα ὡς Fevreus.
231 ἐκ στροφωδέων legunt Exemplaria Regia, & Fevreus, & Imperial. Sambuc.
232 ἐκ τοιουτέων ὑποχονδρίων. Fevreus habet.
233 Ἄρα καὶ ἀχλυώδεες οἱ τοιοῦτοι, καὶ τὰ παρὰ τούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγον. Imp. Sambuc. Fevreus vero ἆρα καὶ ἀχλυώδεες οἱ τοιοῦτοι, καὶ τὰ παρὰ τουτέοισιν ὀδυνώδεα ἐπ' ὀλίγον; κοιλίη καταῤῥαγεῖσα τουτέοισιν ὀλέθριον.
234 ἐν ἅπασιν delet Imperial. Sambuc.
235 ἀγρυπνίῃσι delet Fevr. & Imper. Sambuc.
236 τὰ ἐπὶ Fevr. & Imp. Sambuc.
237 ὑποχόνδρια μετέωρα χρονιώτερα vitiose legunt quidam.
238 ἐπιεικέως Imperial. Sambuc.
239 Idem deletis μᾶλλον. τὰ παρ' ὦτα; cum ἐπὶ τούτοισι jungit sequentia: φλαῦρα τοῖσι παραπληκτικοῖσι.

σπασμώδεες, τρομώδεες, ἀσώδεες, κατόχως [240] μικρὰ παρ' οὖς ἐπιπαροξυνόμενα. ″ Ἆρά γέ εἰσι τὰ παρ' ὦτα κεφαλαγικοί; ἆρά γε καὶ ἐφιδρῶσι τὰ ἄνω, καὶ ἐπιρριγοῦσιν; [241] εἶτα καὶ κοιλίη καταῤῥήγνυται, [242] καί τι κωματῶδες; [243] ἆρά γε καὶ ὑδατώδεα οὖρα ἐναιωρευμένα λευκοῖς, καὶ ποικίλως ἔκλευκα, δυσώδεά πως, εἶτα παρ' οὖς; [244] ἆρά γέ εἰσι τὰ τοιαῦτα οὖρα, στάξιες πυκναί; ἆρά γε καὶ γλῶσσα τούτοις λείη; ″ [245] Οἷσι πνευματουμένοισιν ἐοῦσιν ἴκτεροι, καὶ πυρετοὶ ὀξέες μεθ' ὑποχονδρίων σκληρῶν κατεψύχθαι, εἰ τὰ παρ' ὦτα μεγάλα ἵσανται; ″ Τὰ κωματώδεα, ἀσώδεα, [246] ὑποχόνδρια ὀδυνώδεα, ἐμετώδεα μικρὰ, [247] ἐν τουτέοισι τὰ παρ' οὖς ἐπανίσανται· πρόσθεν δὲ καὶ τὰ περὶ πρόσωπον. ″ Κοιλίης μέλανα [248] κοπρώδεα διεἵσης, κῶμα ἐπιφανὲν, τὸ παρ' οὖς ἀνίστησιν. ″ [249] Βήχεα μετὰ πτυελισμοῦ ὄντα, τὰ παρ' οὖς ἀπαλλάσσει. ″ [250] Ἐν κεφαλαλγίῃ κῶμα, καὶ κώφωσις, παρ' οὖς τι ἐξερεύγεται. ″ Ὑποχονδρίου [251] σύντασις μετὰ κώματος ἀσώδους, καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπαίρει. ″ [252] Τὰ ἐπώδυνα παρ' οὖς ἀκρίτως καταμωλυνθέντα, φλαῦρα.

Convulsio, tremor, jactatio cum alto stu-
163 pore parvos circa aures abscessus proritant.
Num qui parotides habent, a capite dolent?
num & supernis partibus exsudant? num in-
super rigent quoque aliquo modo? deinde
&, alvus erumpit, & soporosum quid ha-
bent? num & aquosæ urinæ alba innatantia
habentes, & quæ varie exalbidæ sunt, ac
fœtidæ, parotides faciunt? num quibus ta-
164 les urinæ, frequentes stillationes e naribus?
num & lingua his lævis est? Quibus magnum
ac crebrum spiritum ducentibus, & morbus
165 regius, & febres acutæ cum duris hypocon-
driis refrigeratæ fuerint, his abscessus ma-
gni secundum aures suscitantur? Sopore de-
tentis, cum jactatione, hypochondriorum
166 dolore, exigua vomitione, in his parotides
exurgunt; antea autem & faciei signa. Al-
167 vo nigra, & stercorosa dejiciente, sopor
168 superveniens parotides excitat. Tussiculæ,
quæ sunt cum sputatione, abscessum circa au-
169 res emolliunt. In capitis dolore coma, & sur-
ditas abscessum aliquem ad aures effundunt.
170 Hypochondrii contentio, cum sopore an-
xio, & capitis dolore parotides attollit.
Dolorem concitantes aurium abscessus ci-
tra crisim sensim dissipati, damno sunt.

Variæ Lectiones.

240 Imperialis Sambuc. cum μικρὰ jungit sequentia: ἆρά γέ εἰσι τὰ πρῶτα &c. deletis παρ' οὖς ἐπιπαροξυνόμενα. Hoc totum ita habet Fevreus: ἦράγε οἷσι τὰ παρ' ὦτα κεφαλαλγικοὶ οὗτοι; ἦρά γε ἐφιδρῶσι τὰ ἄνω, ἴσως τι καὶ ἐπιρριγέουσιν, εἶτα καὶ κοιλίη καταρρήγνυται, καί τι καὶ κωματώδεες. ἆρά γε καὶ τὰ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λευκοῖς, καὶ τὰ ποικίλως ἔκλευκα, δυσώδεα ποιέει τὰ παρ' οὖς. ἦρά γε εἰσὶ τὰ τοιαῦτα οὖρα, στάξιες πυκναί; ἦρά γε καὶ γλῶσσα τούτοις λείη.

241 ἦράγε Imp. Samb. ἆρά τι καὶ ἐπιρριγέουσι, εἶτα καὶ κοιλίη &c. Imp. Corn. & Opsopœus.

242 Τὶ καὶ κωματώδεες Imp. Samb.

243 Ἀτὰρ καὶ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λεύκοισι, καὶ τὰ ποικίλως idem legit deleta ἆράγε.

244 ἦράγε οἷσι τὰ τοιαῦτα οὖρα idem.

245 Οἷσι πνευματίης, ἐοῦσι ἴκτεροι, καὶ πυρετοὶ ὀξέες ἐπιγένονται μεθ' ὑποχονδρίων σκληρῶν, κατεψύχθαι εἶσι Imperiale Sambuci, & deleto εἰ, sequitur: τὰ παρὰ τὰ ὦτα. Fevreus vero legit: Οἷσι πνευματίῃσιν, & paulo post κατεψυχθεῖσι, & pro ἵσανται ἀνίσανται, ut & Servinus ex MSS. & Æmil. Port.

246 τὰ κωματώδεα, ἀσώδεα Cod. impressi & paulo post: ὑποχονδρίου & αἱματώδεα vitiose legunt quædam Exemplaria & Fevreus.

247 ἐν τούτοισι παρὰ τὸ οὖς ἐπανίσταται, & mox τὸ πρόσωπον Imperial. Sambuc. τὰ παρὰ τὸ οὖς Fevreus & τὰ περὶ τὸ πρόσωπον idem.

248 κοπρώδεα, χολώδεα κροκώδεα διεἵσης, κῶμα ἐπιφανέν τι παρ' οὖς ἀνίστησιν Idem Imper. Sambuc. & Manuscripta Reg. μαλακὰ pro μέλανα legunt.

249 Βήχεα λεπτὰ μετὰ πτυελισμοῦ ἐόντα τὰ παρ' οὖς λαπάσσει Imp. Sambuc. uti etiam legisse videtur Galenus. Ibidem μετὰ πτυελισμοῦ Aldus vitiose legit.

250 ἐν κεφαλαλγίῃ κῶμα, καὶ κώφωσις, καὶ φωνῆς μύρωσις παρακολοῦντα, παρ' οὖς τι ἐξερεύγεται Imp. Sambuc. Cod. Manuscript. Reg. ἀμαύρωσις melius legunt, cujus lectionis altum est silentium apud Galenum. Et vocis tarditas, & obscuritas aliud quid potius, ut convulsionem, & epilepsiam, quam parotides denuntiant. Foesius.

251 Vitiosa sunt Exemplaria, quæ σύστασις μετὰ καύματος legunt, & περὶ οὖς, quemadmodum legisse videtur Calvus.

252 τὰ καταμωλυνθέντα, τὰ κατὰ βραχὺ ἀπομαραινόμενα, καὶ ἀφανιζόμενα significant, & de tumoribus secundum aures dicuntur, quæ sensim disparent, & evanescunt, & sine ulla signorum significatione subsident, neque ad suppurationem perveniunt: sic enim usurpavit Hippocrates Libro II. Epid. de parotidibus scribens: ταῦτα κατεμωλύθη, καὶ οὐκ ἀπεπύησεν. Hic Galenus universale præsagium facit, nec ad parotidum dolores accommodat, sed doloribus in universum, qui præter rationem, & absque ulla allevationis significatione conquiescunt, aut dissipantur, attribuit, & τὰ ἐπώδυνα simpliciter legisse videtur; estque dignum certe præsagium artis complexione. Reliqua Exemplaria τὰ ἐπώδυνα παρ' οὖς legunt. Foesius.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Β'.

HIPPOCRATIS PRÆDICTIONUM LIBER II.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι

Τοὺς τῶν ἀρχαίων προῤῥητικοὺς τρόπους, τό τε μεγάλης εἰς τέχνην δυνάμεως εἶναι τὰς τῶν ἐν τοῖς νουσήμασι μελλόντων προῤῥήσιας, ϗ σημεῖα τὰ ἀγαθά τε ϗ πονηρὰ κατὰ μέρος συγγράφει.

ARGUMENTUM LIBRI.

Præfatus veterum prædicendi modos, tum magni ad artem momenti esse futurorum in morbis prædictiones, ac signa tum bona, tum prava sigillatim conscribit.

SECTIO I.

Basil. Lat. III. 443. pag. 549. — Foesius Sect. II. 63. 83. — Basil. Græc. pag. 413.

CAPUT I.

Varii veterum prædicendi modi; quales Hippocratis prædictiones; delirii ex diæta cognitio, & ex hæmorrhoidibus prædictiones, in quibus prudentia adhibenda.



RÆDICTIONES Medicorum enunciantur permultæ, tum præclaræ, tum admirandæ, quales ego quidem neque ipse prædixi, neque alium, qui prædiceret, audivi. Ex ipsis vero quædam sunt hujusmodi. Hominem videri perniciose affectum esse tum Medico ejus curam habenti, tum cæteris; ingressum vero alium Medicum dixisse, hunc hominem non periturum, verum oculis captum iri. Et ad alium, qui prorsus male affectus existimabatur, ingressum prædixisse, hominem

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἱ ποικίλοι παλαιῶν προῤῥητικοὶ τρόποι· ποῖαι τοῦ Ἱπποκράτους προῤῥήσιες· ἡ τῆς παραφροσύνης ἐκ διαιτημάτων γνῶσις, ϗ αἱ ἐξ αἱμοῤῥοΐδων προῤῥήσιες, καθ' ἃς τὴν φρόνησιν παρέχειν χρή.



ΩΝ ἰητρῶν 1 προῤῥήσιες ἀπαγγέλλονται συχναί τε, ϗ 2 καλαί, ϗ θαυμασταί· οἵας ἐγὼ μὲν οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου του ἤκουσα προλέγοντος. Εἰσὶ δ' αὐτῶν, αἱ μὲν τοιαῖδε. 3 Ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι, ϗ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτέου, ϗ τοῖσιν ἄλλοισιν. Ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπωλεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. Καὶ παρ' ἕτερον δοκέοντα 4 παγκάκως ἔχειν, εἰσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον ἀναστήσεσθαι, χεῖρ-

VARIÆ LECTIONES.

1 ἐπαγγέλλονται συχναί, ϗ καλαί, ϗ θαυμασταί. Imperial. Sambuc. & Fevreus.
2 ποικίλαι pro καλαὶ Imperialis Cornarius, aut ἄλλαι, idem καὶ μαλακαὶ pro καλαὶ Asulanus Cod. cum aliis legit.
3 ὀλεθρίως Imperialis Sambucus.
4 ἂν κακῶς ἔχειν Fevreus legit.

χεῖρα δὲ χωλὴν ἕξειν· καὶ ἄλλῳ τῷ δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας, ἀποσαπήσεσθαι. Καὶ τἄλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει."

2 "Ἕτερος δὲ τρόπος προῤῥήσεως ὠνεομένοισί τε, καὶ διαπρησσομένοισι προειπεῖν,' τοῖσι μὲν θανάτους· τοῖσι δὲ μανίας· τοῖσι δὲ ἄλλας νούσους· ἐπὶ πᾶσι τουτοισί [5] τε, καὶ τοῖσι προτέροισι χρόνοισι, προφητίζειν, καὶ πάντα ἀληθεύειν."

3 "Ἄλλο δὲ σχῆμα προῤῥήσεων [6] τόδε λέγεται· τοὺς ἀθλητὰς γινώσκειν, καὶ τοὺς τῶν νούσων εἵνεκα γυμναζομένους τε, καὶ ταλαιπωρέοντας, ἤν τι, ἢ τοῦ σιτίου ἀπολίπωσιν, ἢ ἑτεροῖόν τι φάγωσιν, ἢ ποτῷ πλέονι χρήσωνται, ἢ τοῦ περιπάτου ἀπολίπωσιν, ἢ ἀφροδισίων τὶ πρήξωσι. Τούτων πάντων οὐδὲν λανθάνει, οὐδ' εἰ' σμικρόν τι εἴη ἀπειθήσας ἄνθρωπος, οὕτως ἐξηκριβῶσθαι. Οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προῤῥησίων."

4 "Ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύσομαι· σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους· τούς τε ἐν [7] ὀλίγῳ χρόνῳ, ἢ ἐν πολλῷ ὑγιέας ἐσομένους, ἢ ἀπολουμένους."

5 "Γέγραπται δέ μοι καὶ περὶ ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας.

6 [8] "Δοκέω δὲ καὶ τοὺς προειπόντας περί τε τῶν χωλώσιων, καὶ τῶν ἄλλων τῶν ' τοιουτέων ἤδη ἀποστηριζομένου τοῦ νουσήματος προειπεῖν, καὶ δήλου ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, εἴπερ νόον εἶχον· πολὺ μᾶλλον, ἢ πρὶν ἄρχεσθαι τὴν ἀπόστασιν γινομένην."

7 "Ἐλπίζω δὲ καὶ τ' ἄλλα προῤῥηθῆναι ἀνθρωπινωτέρως, ἢ ὡς ἐπαγγέλλεται (ἃ δὲ τοῖσιν ὠνεομένοισί τε, καὶ περναμένοισι λέγεται [9] προῤῥηθῆναι) θανάτους τε, καὶ νουσήματα, καὶ μανίας. Ταῦτα δέ μοι δοκέει τοιαῦτα γενέσθαι, καὶ οὐδέν τι [10] δοκέει χαλεπὰ εἶναι προειπεῖν τῷ βουλομένῳ τὰ τοιάδε διαγωνίζεσθαι."

8 "Πρῶτον μὲν γὰρ [11] τοὺς [12] ἐφύδρους τε καὶ 414 φθινώδεας τίς [13] οὐκ ἂν γνοίη; ἔπειτα " τοὺς [14] παραφρονήσαντάς ἐστι μὴ πολὺ λανθάνειν, εἴ τις εἰδείη, οἷσι τὸ νόσημα τοῦτο " ἢ συγγενές ἐστιν, ἢ πρόσθεν ποτ' ἐμάνησαν.

9 Εἰ γὰρ οὗτοι οἱ ἄνθρωποι οἰνόφλυγες εἶεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει, ἢ

quidem evasurum esse, verum manum mancam habiturum. Et alii cuidam, qui superstes fore non putabatur, pronunciasse ipsum quidem sanum fore; at pedum digitos denigratos putrefactione corruptum iri. Atque alia hujuscemodi prædicta in tali specie narrantur. Alius autem prædictionis modus est, ementibus & negotia tractantibus prædicere; aliis quidem mortem, aliis vero insaniam, aliis alios morbos, & ad hæc omnia etiam, quæ prioribus temporibus facta sunt, vaticinari, ac omnia vera narrare. Alia præterea prædictionum forma dicitur, athletas, eosque, qui propter morbos sese exercent, & laboribus fatigant, cognoscere, siquid aut circa cibum deliquerint, aut quid alienum ederint, aut potu pleniore usi fuerint, aut deambulationem intermiserint, aut res Venereas exercuerint. Horum omnium nihil eos latet, ne vel si pusillum quid fuerit, in quo homo non paruerit, id exacte cognoscant. Hi omnes narrantur prædictionum modi. Ego vero talia quidem non vaticinabor; verum signa scribo, quibus & sanos futuros homines, & morituros conjectare oportet; eosque brevi tempore, aut longiore, sanos futuros, aut perituros. Scriptum est autem a me & de abscessibus, quomodo singulos considerare conveniat. Arbitror autem & eos, qui de claudicationibus prædixerunt, aliisque ejusmodi, confirmato jam morbo, prædixisse; & quum jam manifestum esset, quod abscessus non esset recursurus; si modo intelligentiam habuerunt, multo sane magis, quam priusquam abscessus fieri inciperet. Existimo quoque & alia prædicta fuisse magis humano more, quam refertur (quæ videlicet ementibus, & vendentibus prædicta fuisse feruntur) mortes, & morbos, & insanias. Atque hæc mihi videntur talia facta esse, & nulla videtur esse difficultas prædicendi ei, qui circa talia studium, ac curam adhibere velit. Primum etenim hydropicos, & tabidos quis non cognoverit? Deinde deliraturi non diu latere possunt, si quis noverit, quibus hic morbus cognatus est, aut prius aliquando insaniverunt. Si

VARIÆ LECTIONES.

5 pro τὲ habet τὰ Imp. Corn.
6 Codices publicati τάδε pro τόδε habent.
7 ὀλιγίτῳ legit ex Manuscriptis Servinus.
8 Paulo ante legit Mercur. ὑγιεασμένους pro ὑγιέας ἐσομένους. Calvus περί τε τῆς χωλωσίων καὶ βλαβῶν legisse videtur. Asulana Exemplaria ἀποστηριζομένους pro ἀποστηριζομένου vitiose legunt.
9 Post προῤῥηθῆναι Imperiale Cornarii ex Fevreo, & Imperialis Sambucus in Germanico Codice hæc inserunt, & in antiquis libellis legi adnotarunt, quæ tamen in Codd. impressis non inveniuntur: Ἀνθρωπινωτέρως, ἢ ὡς ἐπαγγέλλεται. ἃ δὲ τοῖσι ὠνεομένοισί τε, καὶ περναμένοισι λέγεται προῤῥηθῆναι. Quæ etiam addit Servinus, & videntur adjunxisse Corn. & Calv. Foesius aliam huic similem lectionem in quodam MSS. Reg. mavult sequi, quæ talis ἐλπίζω δὲ καὶ τ' ἄλλα προειπεῖν ἀνθρωπίνως μᾶλλον, ἢ ὅτι περ ὠνεομένοισί τε καὶ διαπρησσομένοισι προῤῥηθῆναι λέγεται. Quæ lectio videtur esse Calvi. Mercurialis in margine ἀνθρωπινωτέρως, ἢ ὡς ἐπαγγέλλεται, αἱ δὲ τοῖς ὠνεομένοισι καὶ περναμένοισι λέγεται προῤῥηθῆναι habet.
10 δοκέει delet Imperialis Sambuc.
11 τοὺς delet. Idem.
12 ὑφύδρους legisse videtur Galenus in Exegesi, & τοὺς ὕδερα ἔχοντας exponit, aqua inter cutem laborantes.
13 οὐκ delet Imperialis Sambuc.
14 παραφρονέοντας Imperialis Cornarius.

Si enim hi homines ebriosi fuerint, aut carnes voraverint, aut vigilaverint, aut in frigore, aut calore inconsiderate versati fuerint, multus timor est ex tali victus ratione ipsos deliraturos esse. Et eos, qui hæmorrhoides habent, siquis hieme multo potu uti viderit, & bono colore præditos, de his prædicere licet, quod ad ver multa spes sit sanguinis eruptionis, & ut decolores, & aquosi sub æstatem fiant. Verum prædicere decet eum, qui hæc cuncta didicerit, siquis in talibus studiis palmam ferre expetat. Licet enim ex scriptis prædicere, & mortem, & insaniam, & bonum habitum. Possem autem referre & alia multa hujusmodi; sed quæ facillima cognitu sunt, visum est mihi scribere. Suadeo autem, ut quam prudentissime agant, tum in reliqua arte, tum in hujusmodi prædictionibus, probe memores, quod si cui successerit prædictio, is apud ægrotum intelligentia præditum in admiratione erit. Si vero quis aberrarit, præterquam, quod odio habebitur, fortasse etiam insaniisse videbitur. Quapropter præcipio, ut tum alias omnes, tum has prædictiones prudenter instituant; quanquam sane & audiam, & videam, neque judicare recte homines ea, quæ dicuntur, ac fiunt in arte, neque narrare.

τῷ θάλπει ἀλογίστως ὁμιλοῖεν, πολλαὶ ἐλπίδες, ἐκ τουτέων τῶν διαιτημάτων, παραφρονῆσαι αὐτούς. Τούς τε αἱμοῤῥοΐδας ἔχοντας εἴ τις ὁρῴη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων. Ἐς γὰρ τὸ ἔαρ καταῤῥαγῆναι τὸ αἷμα
10 πολλαὶ ἐλπίδες, ὥστε ἀχρόους τε καὶ ὑδαλέους ὑπὸ τὴν θερείην τούτους εἶναι. Ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅστις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων. Ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν, καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. Εἴποιμι δ' ἂν, καὶ ἄλλα πάμπολλα τοιαῦτα· ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. Συμβουλεύω δὲ, ὡς σωφρονεστάτους εἶναι, καὶ ἐν τῇ ἄλλῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προῤῥήμασι γνόντας ὅτι ἐπιτυχὼν μὲν ἄν τις τοῦ προῤῥήματος, θαυμασθείη ὑπὸ τοῦ
11 [15] ξυνεόντος ἀλγέοντος. [16] Ἁμαρτὼν δ' ἄν τις, πρὸς τῷ μισεῖσθαι, τάχ' ἂν καὶ μεμηνέναι δόξειεν. Ὧν δὴ ἕνεκα κελεύω, σωφρόνως τὰ προῤῥήματα ποιέεσθαι, καὶ τ' ἄλλα πάντα, καὶ ταῦτα· καί τοί γε ἀκούω, καὶ ὁρῶ, οὔτε κρίνοντας ὀρθῶς τοὺς ἀνθρώπους τὰ λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ' ἀπαγγέλλοντας.

CAPUT II.

Incertam de exercitatis prædictionem dari; errata in morbis facile cognosci; uberiore potu, ac cibo usos, non autem morborum, & ægrotantium mores certis signis deprehendi.

DE his autem, qui exercentur, ac laboribus se fatigant, eas assertiones, quas afferunt hi, qui ipsas proferunt, neque esse puto, neque siquis existimet, prohibeo, quo minus putet; a nullo enim signo neque bono, neque malo; læduntur suspiciones, cui signo fide habita quis sciat, an recte pronunciatum sit, an secus; alioqui per me licet, ut si quis velit, credat; non enim ego impedimento sum. Arbitror autem, si quid veri ab ipsis dicatur, aut iis, qui de his, qui exercentur, asseverant; aut illis, qui prius scripti sunt, primum quidem hunc, qui co-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἄδηλον ὑπάρχειν τὴν τῶν γυμναζομένων πρόῤῥησιν· ἐν τῇσι νούσοισιν εὐπετὲς τὰ ἁμαρτήματα γινώσκειν· τοὺς τῷ σιτίῳ τε καὶ τῷ ποτῷ πλέονι χρησαμένους, οὐ δὲ τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων τοῖς ἀσφαλέσι σημείοις ἐκμανθάνεσθαι.

ΑΜφὶ δὲ τῶν γυμναζομένων, καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀτρεκείας τὰς λεγομένας, ὡς λέγουσιν οἱ λέγοντες, οὔτε δοκέω εἶναι, οὔτ' εἴ τις δοκέει, κωλύω δοκέειν. Ὑπὸ σημείου μὲν γὰρ οὐδενὸς [17] βλάπτεται
12 τὰ ὑπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, ᾧ χρὴ πιστεύσαντα εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, [18] εἴτ' οὔ. Ἄλλως δὲ [19] ἐκποιέει τῷ βουλομένῳ πιστεύειν· οὐ γὰρ ἐμποδὼν ἵσταμαι.
13 Δοκέω δὲ αὐτῶν εἴ τι ἀληθὲς λέγεται, ἢ τῶν δὲ τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, πρῶτον μὲν τῶν σημείων τεκμήρασθαι τοῦτον γνόν-

VARIÆ LECTIONES.

15 ξυνόντος Imperial. Sambuc.
16 ἀτυχῶν ex Manuscriptis Servinus. ἀποτυχὼν legit Foesius.
17 βλάπτεται, Imperial. Sambuc. legit.
18 pro εἴτ' οὔ, ἢ οὔ, idem.
19 ἐκποιέω, Imper. Cornar. leg. ponitur ἐκποιέει pro ἔξεστι Æmil. Port.

γνόντα· ἔπειτα ἐνδοιαςῶς τε κὴ ἀνθρωπίνως
προειπεῖν· ἅμα δὲ κὴ τοὺς ἀπαγγέλλοντας
" [20] τερατωδεςέρως διηγεῖσθαι, ἢ ὡς [21] 14
ἐγένοντο· " [22] ἐπὶ οὐδ᾽ ἐν τῇσι νούσοισιν εὐ- 15
πετὲς γινώσκειν τὰ ἁμαρτήματα, καίτοι
κατάκεινταί γε οἱ ἄνθρωποι, κὴ διαιτήμασιν
ὀλιγοτρόφοισι χρῶνται· ὥςε μὴ πάμπολλα
[23] δεῖν ὁρᾶσθαι ὑποσκεπτόμενον τὸν μελεδαί-
νοντα. Οἱ μὲν γὰρ πίνουσι μόνον, οἱ δὲ πρὸς
τῷ πίνειν, ἢ ῥόφημα, " ἢ [24] σιτίον βέλ- 16
τισον ἐπιφέρονται. Ἀνάγκη οὖν ἐν τῷ τοι-
ούτῳ, τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμέ-
νους δυσπνοωτέρους γίνεσθαι, κὴ οὐρέοντας
πλέον φαίνεσθαι. " Τοὺς δὲ τῷ ῥοφήματι, 17
ἢ τῷ σιτίῳ πλεονάσαντας, διψῆν τε μᾶλλον
κὴ πυρεταίνειν. Εἰ δέ τις [25] ἀμφοτέροις κὴ
τῷ ποτῷ, κὴ τοῖσι περὶ τὰ σιτία ἀμέτρως
χρήσαιτο, πρὸς τῷ πυρεταίνειν, κὴ δυσπνοεῖν,
κὴ τὴν γαςέρα περιτεταμένην ἂν κὴ μείζω
ἔχειν. " Ἔξεςι δὲ κὴ ταῦτα πάντα καταξα- 18
σανίζειν κάλλιςα, κὴ τ᾽ ἄλλα τοῖσι δοκι-
μίοισι, οἷσιν ἔχομέν τε κὴ χρεόμεθα, εὖ πάν-
τα. Πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε κὴ τοῖ-
σιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν
τῷ αὐτῷ, κὴ ἀτρεκέως διαιτώμενον, ῥᾷόν ἐςι
γνῶναι, ἤν τι ἀπειθήσῃ, ἢ περιοδοιπορέον-
τα, κὴ πάμπολλα ἐσθίοντα. Ἔπειτα τῇσι
χερσὶ ψαύσαντα, τῆς γαςρός τε, κὴ τῶν
φλεβῶν, ἧσσόν ἐςιν ἐξαπατᾶσθαι, ἢ μὴ
ψαύσαντα. " Αἵ τε ῥῖνες, ἐν μὲν τοῖσι 19
πυρεταίνουσι, πολλά τε κὴ καλῶς σημαίνου-
σιν· αἱ γὰρ ὀδμαὶ μέγα διαφέρουσιν.
" Ἐν δὲ τοῖσιν [26] ἰσχύουσί τε κὴ ὀρθῶς διαι- 20
τωμένοισιν, οὐκ οἶδα, ὅ, τι ἂν χρησαίμην, οὐδ᾽
ἐν τούτῳ τῷ δοκιμίῳ. Ἔπειτα τοῖσιν ὠσὶ, τῆς
φωνῆς ἀκούσαντα, κὴ τοῦ πνεύματος, ἔςι
διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν, οὐχ
ὁμοίως ἐςὶ δῆλα, ἀλλ᾽ οἷως πρόσθεν. " [27] Ἢν 21
(δὲ μὴ) τὰ ἤθεα τῶν νοσημάτων τε, κὴ τῶν
ἀλγεόντων ἐκμάθῃ ὁ ἰητρὸς, οὐ χρὴ προλέ-
γειν οὐδέν· οὐ γὰρ ἂν δυσπνούςερος ὤνθρω-
πος γένοιτο, ἔτι πλανωμένης τῆς νούσου, κὴ
πυρετήνειεν ὀξυτέρῳ πυρὶ, κὴ ἡ γαςὴρ ἐπι-
ταθείη. Ὥςε διὰ ταῦτα οὐκ ἀσφαλὲς
προλέγειν πρόσθεν, πρὶν ἂν κατάςασιν λα-
βεῖν τὸ νούσημα· μετὰ δὲ τοῦτον τὸν χρόνον ὅ,
τι ἂν παράλογον γένηται, λέγειν χρή. Δῆ-
λα δὲ τὰ " διὰ τὴν [28] ἀπειθίην γινόμενα 22
κακά. Αἵ τε γὰρ δύσπνοιαι, κὴ τ᾽ ἄλλα [29]
τοιαῦτα, τῇ ὑςεραίῃ πεπαύσεται, ἢν δι᾽ ἁ-
μαρτάδα γένηται. Ἢν οὖν τις " ταύτην τὴν 23

gnovit ex signis conjectasse; deinde vero ambigue, & humano more prædixisse; simulque eos, qui id narrant, prodigiosius, quam factum fuit, recensere; nam neque in morbis facile est errata cognoscere, etiam si decumbant homines, & victu parum nutriente utantur; ut non adeo multa intueri opus sit eum, qui hæc considerandi curam suscepit. Alii enim bibunt solum, alii ad hoc, quod bibunt, aut sorbitionem, aut cibum optimum assumunt. Necesse igitur est eos, qui uberiore potu usi sunt, difficilius spirare, & plus urinæ reddere; eos vero, qui sorbitionem, aut cibum largiorem sumpserunt, magis & sitire, & febrire. Si vero quis utroque, & potu, & cibo, immodice usus fuerit; præter febrem, & spirandi difficultatem, etiam ventrem circumtentum, & majorem habebit. Licet porro & hæc, & alia omnia experimentis optime explorare, quæ & habemus, & omnibus recte utimur. Primum equidem & intelligentia, & oculis cognoscere facile est, hominem in eodem loco decumbentem, & exacta victus ratione utentem, si non paruerit, quam obambulantem, aut multa edentem. Deinde, qui manibus contrectavit ventrem, ac venas, minus falli potest, quam qui non contrectavit. Et nares in febrientibus quidem & multa, & bene significant; odores enim multum inter se differunt. At vero in sanis, & recto victu utentibus, haud scio, quare vel in hoc experimento faciendo uti possim. Postea audiendo vocem, & spiritum auribus cognoscere datur, quæ in sanis non similiter sunt manifesta, sed qualiter etiam antea. Quod (si non) etiam mores morborum, ac ægrotorum didicerit Medicus, haud quidquam prædicere oportet; non enim difficilius spirabit homo, morbo adhuc errante, & corripietur acutiore febre, & venter intentus erit. Quare propter hæc non tutum est prædicere, priusquam ad statum pervenerit morbus; verum post hoc tempus, quicquid præter rationem acciderit, dicere oportet. Manifesta vero sunt mala, quæ propter ægri inobedientiam fiunt; nam & spirandi difficultates, & alia hujusmodi postridie sedabuntur; si ob errata fiunt. Si igitur quis hanc judicationem con-

VARIÆ LECTIONES.

20 τερατωδεςέρως edita Exemplaria, vitiose tamen.
21 ἢ ὡς ἐγένοντο vitiose edita Exemplaria.
22 ἐπὶ οὐδ᾽ ἐν τῇσι, Imp. Cornar. melius legit, quam lectionem secuti sunt Interpretes ἐπεὶ οὐδὲν editi Cod. οὐ δὲ ἐν, ex Manuscripto Servin.
23 Sic Imp. Corn. δεῖ editi Codices.
24 σιτίον ὀλίγισον, MS. Reg. Asul. Cod. & Mercurialis in margine legunt.
25 ἀμφότερα, Imp. Samb.
26 ἰσχύουσι, legit Calvus contra omnium Codicum fidem.
27 Sic Imp. Corn. ἢ τὰ ἤθεα, editi Codices.
28 ἀπειρίην vitiose editi Codices. ἀπειθίην, Imp. Corn. Æmil. Port. ἀπειθείην vero Mercurial. in margine, & Codic. leg. vide Oeconomiam Hippocratis in ἀπειθευμένα.
29 Sic Imp. Corn. editi Codices ταῦτα legunt.

considerans prædixerit, non delinquet. Atque ego quidem hunc considerandi modum nunc consulo, tum de his, qui domi manent, tum de iis, qui exercentur, itemque de aliis omnibus, qualia errata committant. At exactam illam narrantes rationem & audio, & derideo. Quum enim parum non obtemperarint homines, haud scio, quomodo id deprehendere possim. Si vero majora fuerint errata, quem in modum considerare oporteat, scribam.

CAPUT III.

Quomodo, quando, quæ, quibus sensibus homines, eorumque errores in cibo, potu, exercitio, ac Venere spectare deceat.

OPortet autem primum hominem, in quo quis per inobedientiam commissa cognoscere volet, per totum diem intueri, & in eodem loco, & eadem hora, sole præsertim recens orto; hoc enim tempore aliquantulum evacuatus fuerit, & adhuc jejunus est, & nullo labore fatigatus, præterquam matutinis deambulationibus, in quibus minimum delinquit; si sane, ubi de somno surrexit homo, ad deambulandum prodierit. Quare necesse est eum, qui justa victus ratione utitur, hac hora maxime æqualiter affectum esse, quod ad coloris, & totius corporis constitutionem spectat. Quapropter & is, qui hujus curam gerit, acutissimus fuerit & mente, & oculis, eo tempore. Contemplari præterea oportet hominis mentem, & mores, & corporis vires; alii enim alia facilius, aut difficilius imperata faciunt. Primum igitur is, cui inedia imperata est, si plura comederit, & biberit; per hæc manifestus fiet, & tumidius corpus ipsius apparebit, pleniusque, ac coloratius erit; si non excrementa alvi male ipsi processerint. Erit item animosior ad ferendum laborem. Considerandum etiam, an ructum edat, aut a flatibus urgeatur; hæc enim fieri solent his, qui ita affecti sunt, propter hoc erratum. Si vero, dum edere multa cogitur, & fortiter laborare, aut cibum non ederit, aut ebrius factus fuerit,

κρίσιν [30] προϊδὼν λέγῃ· οὐχ ἁμαρτήσεται. Ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐσηγέομαι τῶν ἐπισκεψίων, καὶ περὶ τῶν οἴκοι μενόντων, οἷα ἐξαμαρτάνουσιν, καὶ περὶ τῶν γυμναζομένων τὲ, καὶ τῶν ἄλλων πάντων. Τὰς δ' ἀκριβείας κείνας ἀκούω τε, καὶ καταγελῶ τῶν ἀπαγγελλόντων. Σμικρὰ μὲν γὰρ ἀπειθούντων τῶν ἀνθρώπων, οὐκ οἶδ', ὅπως ἂν ἐλέγξαιμι. Εἰ δ' εἴη μείζονα τὰ ἁμαρτήματα, ὅντινα τρόπον ὑποσκέπτεσθαι χρὴ, γράφω.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅπως, πότε, τίνα, δι' ὧν αἰσθήσεων τοὺς ἀνθρώπους τε, καὶ τὰ αὐτῶν ἁμαρτήματα περὶ σιτία τε, καὶ ποτὰ, καὶ γυμνάσια, καὶ ἀφροδίσια ὑποσκέπτεσθαι χρή.

ΧΡὴ δὲ, πρῶτον μὲν τὸν ἄνθρωπον ἐν ᾧ
24 μέλλει τὶς γνώσεσθαι " τὰ [31] ἀπει-
θευμένα, ἅπασαν ἡμέρην ὁρᾷν, ἐν τῷ αὐτῷ
25 τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, " [32] μάλιστά
τ' ἦμος ἥλιος νεωστὶ [33] καταλάμπει· τοῦ-
τον γὰρ τὸν χρόνον ὑποκεκενωμένος ἂν εἴη,
καὶ νῆστις ἂν ἔτι ἐστὶ, καὶ τεταλαιπωρηκὼς οὐ-
26 δὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων," ἐν οἷς
ἥκιστα [34] ἀπειθεῖ· ἤν γε ἐπανεγερθεὶς ὥν-
θρωπος ἐς τὴν περίοδον καταστῇ. Ὥστε ἀνά-
γκη τὸν δικαίως διαιτώμενον μάλιστα ταύτην
τὴν ὥρην ὁμαλῶς ἔχειν τὴν κατάστασιν τοῦ χρώ-
ματός τε, καὶ τοῦ σύμπαντος σώματος. Διὸ
καὶ ὁ ἐπιμελούμενος ὀξύτατός τ' ἂν εἴη, καὶ
τὸν νόον, καὶ τοὺς ὀφθαλμοὺς, ὑπὸ τοῦτον τὸν
χρόνον. Ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώ-
που τὴν γνώμην, τοὺς τρόπους, τοῦ σώμα-
τος τὴν δύναμιν. Ἄλλοι γὰρ ἄλλα ῥηϊδίως
ἐπιτελοῦσι τῶν προστασσομένων, καὶ χαλεπῶς.
Πρῶτον μὲν οὖν ὁ λιμαγχεόμενος εἰ πλείονα
φάγῃ τὲ καὶ πίῃ, τούτοισι δῆλος ἔσται, καὶ
ὀγκηρότερον αὐτοῦ τὸ σῶμα φανεῖται, καὶ λι-
παρώτερον, καὶ εὐχρούστερον ἔσται· ἢν μὴ κα-
κῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐ-
τῷ. Ἔσται δὲ καὶ εὐθυμότερος ἐν τῇ ταλαι-
27 πωρίῃ. Σκεπτέον δὲ καὶ " ἤν τι [35] ἐρυγγάνῃ,
ἢ ὑπὸ φύσης ἔχηται· ταῦτα γὰρ προσή-
κει γίνεσθαι τοῖσιν ὧδε διακειμένοισιν, ἐπὶ
ταύτῃ τῇ ἁμαρτάδι. Ἢν δὲ ἐσθίειν τὲ ἤδη
ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρέειν ἰ-
σχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θω-
ρη-

VARIÆ LECTIONES.

30 προειδὼν, legunt Exemplaria quædam Manuscripta, quæ secutus videtur Calvus, & M. R. προϊδὼν edit. Cod.

31 ἀπειθευμένα sic Manuscripta quædam melius legunt ἀπιθευμένα, vitiose ἀπειθέμενα.

32 Scripti duo Codices μάλιστα τῆμος legunt, quos secuti videntur Interpretes, unus etiam pervetustus μάλιστα θ' ἦμος, ἦμος autem, & τῆμος, Ionica est dictio Homero familiaris.

33 καταλάμψει, Imp. Samb. leg.

34 Sic Imp. Corn. ἀπειθεῖ editi Cod.

35 ἐρυγγάνει, ἐρυγγάνειν, Cod. quidam MSti.

ῥιχθῇ, ἢ μὴ περιέλθῃ ἀπὸ τοῦ δείπνου συχνοῦ, ὧδ' ὑποσκέπτεσθαι. Τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, [36] περιπατήσαι δὲ τὰ μεμαθηκότα, ἡδίων τε ἂν προσιδεῖν, ὀξύτερός τε, καὶ ἐργαστικώτερος, ἐν τοῖσι γυμνασίοισιν. Ὁ δ' ἀπόπατος σμικρότερός τε καὶ συνεστηκὼς μάλιστ' ἂν τούτῳ γένοιτο. Ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ περιπατήσῃ, ἐρυγγάνοι τ' ἂν, καὶ φυσώδης εἴη, καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο, καὶ ἱδρώσει ἂν μᾶλλον, ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρὺς, αἵ τε διέξοδοι τῆς κοιλίης μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γένοιτ' ἄν. Εἰ δὲ μήτε τὸ σιτίον καταναλώσειε, μήτε περιπατήσειε, νωθρότερος ἂν εἴη καὶ ὀγκωδέστερος. Εἰ δὲ μεθυσθείη, ἱδρώη τ' ἂν μᾶλλον, ἢ πρόσθεν, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ καὶ ὑγρότερος. Εἴη δ' ἂν καὶ εὐθυμότερος, ἢν μή τι αὐτῷ ἡ κεφαλὴ ἀνιῷτο. Γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερος τ' ἂν εἴη καὶ λελυμένος μᾶλλον. Εἰ δὲ πλειστάκις διαπρήξαιτο, σκληρότερος ἂν γένοιτο, καὶ αὐχμηρόν τι ἔχων καὶ ἀχρούστερός τε, καὶ κοπιώδης μᾶλλον.

aut a cœna larga non obambulaverit; hoc
modo explorare oportet. Si quidem cœ-
28 nam non sumpserit, solito autem more de-
ambulaverit; jucundiorem aspectum præ-
seferet, & vegetior, ac operosior in exer-
citiis erit. Verum alvi egestio modica, &
compacta maxime in hoc fuerit. Si vero
cœna sumpta non deambulaverit; ructum
utique edet, & flatuosus fuerit, & plenitu-
do non minor apparebit, & inter laboran-
dum magis, quam antea sudabit, & difficul-
ter spirabit, ac gravis erit, & alvi secessus co-
piosiores, ac minus viscosi his fuerint. Quod
si neque cibum consumpserit, neque deam-
bulaverit; pigrior utique fuerit, ac tumi-
dior. Si vero ebrius factus fuerit, sudabit
magis, quam antea, & difficulter spirabit,
& se ipso gravior erit, ac humidior; sed
& lætior erit, si non ipsi caput doleat.
29 Quod si uxore semel usus fuerit, vegetior
utique erit, & magis solutus. Si vero sæ-
pius rem peregerit; & durior evadet, &
squalorem aliquem habebit, & decolora-
tior, ac magis lassatus erit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐξ ἀποπάτων τε, καὶ οὔρων τῶν κατακειμένων διαγινώσκεσθαι τὰ ἁμαρτήματα περί τε τὰ σιτία, καὶ ποτὰ, καὶ γυμνάσια, καὶ ἀφροδίσια.

Ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἐς ἂν ὀλιγοσιτέωσί τε, καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληρούς, [37] ἢν δὲ πᾶσαν ἡμέρην· Ἢν δὲ καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλέονος χρόνου (μὴ) διαχωρέῃ, κίνδυνος, ἢ [38] πυρετὸν, ἢ διαρροίην ἐπιλαβεῖν. Ὅσα δὲ ὑγρότερά ἐστι τῶν διαχωρημάτων, ἢ ὥστε ἐκτυποῦσθαι ἐν τῇ διεξόδῳ, [39] ταῦτα δὲ πάντα τοῖσι κακίω. Τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη, καὶ πολλὰ ταλαιπωρέουσι, τὴν διέξοδον χρὴ μαλθακὴν ἐοῦσαν, ξηρὴν εἶναι, πλῆθός τε τῶν εἰσιόντων [40] κατὰ λόγον τῆς ταλαιπωρίης. Διαχωρέει δὲ ἀπὸ τῶν ἴσων σιτίων, τοῖσι μὲν ἐλάχιστα ταλαιπωρέουσι πλεῖστα· τοῖσι δὲ πλεῖστα ταλαιπωρέουσι ἐλάχιστα· σμικρὸν, (δὲ) ἢν ὑγιαίνωσί τε, καὶ δικαίως διαιτῶνται· ἀλλὰ πρὸς ταῦτα συμβάλλεσθαι. Αἱ δὲ ὑγρότεραι τῶν διαχωρήσεων, καὶ ἄτερ πυρετῶν γινόμεναι, καὶ ἑβδομαῖαι, καὶ θᾶσσον κρινόμε-

CAPUT IV.

Ex dejectionibus & urinis decumbentium errores in cibo, potu, exercitio, ac Venere commissos deprehendi.

30 Porro dejectiones alvi contingere oportet
his, qui laboribus exercentur, quamdiu
parum ederint, ac parum potaverint, mo-
dicas, & duras, atque hoc quotidie. Si vero
tertio quoque die, aut quarto, aut ex longiore
intervallo (non) prodierint; periculum est,
ne aut febre, aut alvi profluvio corripiantur.
31 Quæcunque vero dejectiones liquidiores
sunt, quam ut in transitu conformentur, hæ
sane omnes illis pejores sunt. At vero his,
qui multum edunt, & multum laborant, ege-
32 stionis transitum mollem, oportet esse sic-
cum, & copiam ciborum ingestorum pro ra-
tione laboris. Prodeunt autem ab æquali ci-
borum copia, his quidem, qui minimum la-
borant, plurimæ dejectiones; his vero, qui plu-
33 rimum laborant, minimæ; parvæ vero, si sani
fuerint, & justa victus ratione utantur; nam ab
his conjecturam facere oportet. Liquidiores
autem dejectiones, & sine febribus contin-
gen-

Variæ Lectiones.

36 περιπατήσῃ, Exempl. quædam MS. περιπατήσαι ut sit 3. Opt. Aor. I. quæ τῷ καταφάγοι respondeat, in Opsop. Cod. περιπατῆσαι, duobus modis vitiose scriptum videtur, vel περιπατήσειεν. Æmil. Port. περιπατήσας vero Imp. Corn. paulo inferius ἱδρώσει, vel ἱδρώη ἂν, vel ἱδρώσειεν ἂν, vel mutata constructione Subjunctivus positus, idem valens, ac præcedens Optat. ἱδρώσῃ editi Codd.

37 διὰ πᾶσαν, Imp. Corn. ἢν δὲ, idem.

38 πυρεταίνειν. MSta Reg. leg.

39 ταῦτα δὲ πάντα ἐστὶ, Imper. Corn.

40 μὴ κατὰ λόγον. MS. Reg.

gentes, & quæ septima die, aut citius judicantur, commodæ sunt; si semel una vice omnes fiant, & non revertantur. Si vero insuper febrierint homines, aut alvi profluvia redierint; si longa fuerint; penitus mala sunt, sive biliosa fuerint, sive pituitosa, sive cruda; & victus ratione propria, singula opus habent, itemque aliis alia medicamentis. Ceterum urinam juxta potionis copiam mingere oportet, & semper æqualem, & affatim effusam, & parvo momento crassiorem, quam id, quod epotum fuit. Si vero fuerit aquosa, & copiosior, quam pro eo, quod bibi imperatum est; significat hominem non obedire, sed copiosiore potu uti, aut non posse renutriri, quamdiu ita affectum fuerit lotium. Si vero paulatim stridat urina; aut medicamentis hominem opus habere significat, aut morbum aliquem circa vesicam habere. At sanguinem mingere, raro quidem, & sine febre, ac dolore, nihil mali significat, sed lassitudinum solutio fit. Si vero sæpius mingat, & aliquid ex his accesserit, malum est. Verum prædicere oportet, sive cum dolore mingatur, sive cum febre, fore, ut insuper pus mingat, atque ita dolores quiescant. Crassa vero urina albam subsidentiam habens, aut circa articulos dolorem aliquem, aut tumorem significat. Aliæ vero omnes subsidentiæ in urinis eorum, qui exercentur, a morbis circa vesicam fiunt, id quod ipsi manifestum facient; cum doloribus enim erunt, & ægre ab illis liberari poterunt. Atque hæc quidem de his scribo, & hujusmodi alia dico. Ceterum ex his, qui exactam, ac certam prædictionum rationem prædicant, cum aliquibus ipse versatus sum, cum aliquorum vero filiis, ac discipulis rem contuli; quorundam vero scripta accepi. Quare cum probe sciam, quæ quisque ipsorum sentiret, nec usquam certam rationem compererim; hæc scribere aggressus sum.

34 ναι, λυσιτελέες " ἐς ἅπαξ πᾶσαι γινόμε-
35 ναι, ϰαὶ μὴ ὑποστρέφουσαι. " Εἰ δ' ἐπιπυ-
ρεταίνοιεν οἱ ἄνθρωποι, ἢ ὑποστρέφοιεν αἱ
διάῤῥοιαι, εἰ μακραὶ γίγνοιντο, πάντως
πονηραὶ, εἴ τε χολώδεες [41] εἴησαν, εἴτε
φλεγματώδεες, εἴτε ὠμαὶ, ϰαὶ διαιτημά-
των τε ἰδίων προσδεόμεναι ἕκασται, ϰαὶ φαρ-
36 μακευσίων ἄλλαι ἄλλων. [42] " Οὖρον δὲ
χρὴ κατά τε τὸ τοῦ πινομένου πλῆθος διου-
ρέεσθαι, ϰαὶ ἴσον αἰεὶ, ϰαὶ [43] ἀθρόον, ὡς μά-
λιστα, ϰαὶ ῥοπῇ ὀλίγον παχύτερον, ἢ οἷον ἐ-
37 πόθη. " Εἰ δὲ εἴη ὑδατῶδές τε, ϰαὶ πλεῖον
τοῦ προστασσομένου πίνεσθαι, σημαίνει μὴ
πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλέονι πο-
τῷ [44] χρέεσθαι, ἢ οὐ δύνασθαι ἀνατραφῆ-
ναι, ἔστ' ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον.
38 " Εἰ δὲ κατ' ὀλίγον τρύζοι τὸ οὖρον, σημαί-
νει, ἢ φαρμακεύσιος δεῖσθαι τὸν ἄνθρωπον,
39 ἢ νόσημά τι τῶν περὶ κύστιν ἔχειν. " Αἷμα
δὲ οὐρῆσαι, ὀλιγάκις μὲν, ϰαὶ ἄτερ πυρετοῦ,
ϰαὶ ὀδύνης, οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων
λύσις γίνεται. Εἰ δὲ πολλάκις οὐρέοι, ἤ τι
τούτων προσγίνοιτο, δεινόν. Ἀλλὰ προλέ-
γειν ἤν τε σὺν ὀδύνησιν οὐρέηται, ἤν τε σὺν
πυρετῷ, πῦον ἐπιδιουρήσειν, ϰαὶ οὕτω παύε-
40 σθαι τῶν ἀλγεόντων. " Παχὺ δὲ οὖρον [45]
λευκὴν ὑπόστασιν ἔχον, σημαίνει, ἢ περὶ
41 τὰ ἄρθρα τινὰ ὀδύνην [46] ἢ ἔπαρσιν. " Αἱ
δ' ἄλλαι ὑποστάσεις, αἱ ἐν τοῖσιν οὔροισιν
τῶν γυμναζομένων πᾶσαι, ἀπὸ τῶν νουση-
μάτων γίνονται τῶν περὶ τὴν κύστιν. Δῆλον
δὲ ποιήσουσι, σὺν ὀδύνῃσί τε γὰρ ἔσονται,
ϰαὶ δυσαπάλλακτοι. Καὶ ταῦτα μὲν γράφω
42 περὶ τούτων, ϰαὶ λέγω τοιαῦτα ἕτερα. " Ὧν
δὲ δι' ἀκρίβειαν κατηγορέονται τῶν προῤῥη-
σίων, τοῖσι μὲν αὐτῶν αὐτὸς συνεγενό-
43 μην, τῶν δὲ παισί τε ϰαὶ μαθητῇσιν " [47] ἐ-
λεσχηνευσάμην· τῶν δὲ συγγράμματα ἔ- 416
λαβον. Ὥς τε εὖ εἰδὼς, οἷα ἕκαστος αὐτῶν
ἐφρόνει, τὰς ἀκριβείας οὐδαμοῦ εὑρὼν, ἐπε-
χείρησα τάδε γράφειν.

CAPUT V.

De Hydrope sanabili, ac insanabili prædictiones.

At vero de hydropibus, & tabidis, & podagricis, & his, qui a morbo sacro appellato corripiuntur, hæc dico; (&) ex aliqua quidem parte de omnibus idem. Nam qui hos morbos congenitos habet, is ægre ab ipsis li-

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ὕδρωπος ἰατοῦ τε ϰαὶ ἀνιάτου προῤῥήσιες.

Περὶ δὲ τῶν ὑδρώπων τε [48] ϰαὶ φθισίων, ϰαὶ
τῶν ποδαγρῶν, τῶν τε λαμβανομένων
ὑπὸ τῆς ἱερῆς νούσου καλεομένης, τάδε λέ-
γω· (ϰαὶ) κατὰ μέν τι περὶ πάντων τὸ αὐτό.
44 " Τὸν γὰρ [49] συγγενέα τουτέων τῶν νουση-
μά-

VARIÆ LECTIONES.

41 Sic ex MS. Servinus. ἔωσι, editi Codd.

42 In M. Reg. Epigraphe hic apponitur: περὶ ὑγιεινῶν οὔρων, ita & in Imp. Sambuc.

43 ἀθρόως, Imp. Samb. & Fevreus.

44 Sic Imp. Samb. χρῆσθαι editi Cod.

45 λευκὸν, Foes. & alii volunt, ut & Cornar. pro λεπτὸν, sicut legunt editi Codices.

46 Sic Imper. Corn. καὶ editi Codices

47 ἐλεσχηνευσάμην. MS. Asulan. Cod. ἐλεσχηνευσάμην, ἐλεσχὲ νευσάμην, vitiose passim scribitur.

48 ϰαὶ τῶν φθισίων, leg. Servin.

49 οἷς γὰρ ξυγγενὴς ἦ γὰρ ξυγγενές τι, ϰαὶ ξυγγενέσι τουτέων τῶν νουσημάτων, MSta quædam habent Exempl. quod tamen mendosum, & videtur cujusdam additamentum esse.

μάτων ἐστιν εἰδέναι δυσαπάλλακτον ἐόντα.
Τὰ δὲ ʹ ἄλλα καθʹ [50] ἕκαστον γράψω. ʺ 45
Χρὴ δὲ τὸν ὑπὸ τοῦ ὕδρωπος ἐχόμενον, καὶ
μέλλοντα περιέσεσθαι, [51] εὔσπλαγχνόν τε
εἶναι, καὶ [52] ἀνατείνεσθαι, καὶ φαγεῖν ἅμα πέ-
πτεσθαί τε εὐπετέως, εὔπνοόν τε ὄντα, ἀ-
νώδυνον εἶναι, ʺ καὶ χλιαρὸν ὁμαλῶς πᾶν τὸ 46
σῶμα ἔχειν, καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔ-
σχατα, κρέσσον δὲ ἐπάρματα μᾶλλον ἔ-
χειν ἐν τοῖσιν ἀκρωτηρίοισιν. Ἄριστον δὲ μη-
δὲ ἕτερον τούτων· ἀλλὰ μαλακά τε χρὴ καὶ
ἰσχνὰ εἶναι τὰ ἀκρωτήρια, καὶ τὴν γαστέ-
ρα μαλθακὴν εἶναι ʹ ψαυομένην. ʺ Βῆχα δὲ 47
μὴ προσεῖναι, μηδὲ δίψαν, μηδὲ τὴν γλῶσ-
σαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ χρόνῳ,
καὶ μετὰ τοὺς ὕπνους· γίνεται δὲ ταῦτα,
κάρτα. Τὰ δὲ σιτία ἡδέως δέχεσθαι, καὶ ἐ-
σθίοντα ἱκανὰ, μὴ πονεῖσθαι. Τὴν δὲ κοι-
λίην πρὸς μὲν τὰ φάρμακα ὀξέην εἶναι, τὸν
δʹ ἄλλον χρόνον διαχωρέειν μαλθακὸν ἐκτε-
τυπωμένον. Τὸ δὲ οὖρον φαίνεσθαι [53] πε-
ραιούμενον ʺ πρὸς τὰ ἐπιτηδεύματα, καὶ τῶν 48
οἴνων τὰς μεταβολάς. ʺ Τὴν δὲ ταλαιπωρίην 49
εὐπετῶς ʹ φέρειν, καὶ ἄκοπον εἶναι. Ἄριστον
μὲν οὕτω πάντα διακεῖσθαι τὸν ἄνθρωπον,
καὶ ἀσφαλέστατʹ ἂν γένοιτο ὑγιής· εἰ δὲ μὴ,
ὡς πλεῖστα τουτέων ἐχέτω, ἐν ἐλπίδι γὰρ
ἔσται περιγενέσθαι. Ὃς δʹ ἂν μηδὲν τούτων
ἔχῃ, ἀλλὰ τὰ ἐναντία, ἀνέλπιστον ἐόντα εἰ-
δέναι. Ὃς δʹ ἂν τούτων ὀλίγα ἔχῃ, ἃ φη-
μι χρηστὰ εἶναι τῷ ὑδρωπιῶντι προσόντα, ὀ-
λίγαι ἐλπίδες αὐτῷ. ʺ Ὧι δʹ ἂν αἱμορραγέῃ 50
πολλὸν ἄνω καὶ κάτω, καὶ πυρετὸς ἐπιγένηται,
ὕδατος ἐμπλησθῆναι πολλαὶ ἐλπίδες ʹ τοῦ-
τον· καὶ τῶν ὑδρώπων, οὗτος ὀλιγοχρονιώτα-
τός τε, καὶ ἐν τοῖσιν [54] ἀφυκτοτάτοισιν. [55]
Ἄλλῳ δὲ προσημαίνειν περὶ τούτου. ʹ Οἷσι 51
δὲ οἰδήματα μεγάλα γινόμενα καταμαραί-
νεται, καὶ αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον
περιγίνονται τῶν ἐκ τῶν αἱμάτων τῆς ἀναρ-
ῥήξιος ʺ [56] ἐμπιμπλαμμένων. ʺ Ἐξαπατέου- 52-53
σι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥς
3 αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς [8] ῥαγῆς, ἀφ' οὗ τρέφεται. Τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων, καὶ ἐπὶ τῶν φύλλων, καὶ βρωτῶν, καὶ ποτῶν, ὁκόσα θερμαίνεται ἰσχυρῶς. Ἐννοῆσαι δὲ παρέξει ξύλα καιόμενα· ἅπαντα μὲν γὰρ τὰ ξύλα ποιήσει τοῦτο, μάλιστα δὲ τὰ ὑπόχλωρα· [9] μεθίησι γὰρ κατὰ τὴν τομὴν τὸ πνεῦμα· τὸ δὲ πνεῦμα, ὁκόταν ἔξω χωρήσῃ, ἑλίσσεται περὶ τὴν τομὴν, καὶ τοῦτο γινόμενον ὁρῶμεν αἰεί. Δῆλος οὖν ὁ ἐκλογισμός ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, [10] ἀφ' οὗ τρέφεται, [11] ἐς ἑωϋτὸ, καὶ ὑπὸ ἑωϋτοῦ ἀφίησιν. (εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦ-

4 μα εἰλίσσετο ἔξω ἰόν·) πᾶν γὰρ τὸ θερμὸν τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. Καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γενόμενον, χωρέει ἔξω· καὶ τῇδε ἐξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. Ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρά· ὅταν [12] γὰρ καίηται, πνεῦμα ἴσχει· ἔπειτα ῥήγνυσι τὸ πνεῦμα, καὶ ὁδὸν ποιέεται, καὶ χωρέει ἔξω ἑλισσόμενον· χωρέον δὲ ψόφον παρέ-

5 χει, ᾗ τὴν [13] εἰσπνοὴν ποιέεται. Καὶ χέδροπα, καὶ σῖτος, καὶ ἀκρόδρυα θερμαινόμενα, πνεῦμα ἴσχει, καὶ ἔξω ἐξέρχεται [14] ῥαγὴν ποιησάμενον· καὶ ἢν νοτερὰ ἔῃ, πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. Καὶ τί δεῖ μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ' οὗ τρέφεται. Καὶ αὗται μοι ἀνάγκαι προηγμέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι πνεῦμα ἴσχει, καὶ ἀφίησι.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

4 καὶ κατὰ μέσον, καὶ delet Imp. Samb.
5 γονῆς ἢ τὸ Imp. Samb.
6 μήτρας Imp. Samb. & paulo post legit μήτρας
7 ποιέει οἱ ὁδὸν, οἱ delet Imp. Samb.
8 ἀκμὴ, ὁρμὴ, βία Imp. Samb. addit, quod, notante Foes. in sua Oeconomia, ex scholio quodam adscriptum videtur glossema esse, cum eam explicationem ῥάγα tribuat Hesychius, sed ῥαγὴ idem quod ῥωγὴ significare videtur. Galenus vero in Exegesi, ῥαγῇσι, σχίσμασι, ῥήγμασι exponit, id est: *scissuris, fracturis*. Quare ῥαγὴ hic pro *ruptura*, aut *scissura* accipitur, quam vi efficit spiritus, cum erumpit. Alias ῥαγὴ est species solutionis continui potissimum in ossibus, quando secundum longitudinem franguntur, vel finduntur.
9 Quam lectionem etiam notat Codex Florentinus. Infra καθίησι, i. e. *demittit*, pro μεθίησι legit Mercur. ex veteri Cod.
10 ὑφ' οὗ idem & Fevr.
11 εἰς ἑωϋτό. ὥσπερ καὶ Imp. Samb. & Fevr.
12 δὲ alii legunt.
13 εἰς πνοὴν, legunt Exempl. quædam, quæ secutus videtur Gorrhœus. παρέχεται, pro ποιέεται, Mercur. ex veter. Cod.
14 ὁρμὴν Imp. Samb. Infra pro προηγμέναι MSta Regia quædam legunt προηγμέναι.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ πνεύματος τ̃ γονῆς, ϗ τ̃ γενέσεώς τε καὶ αὐξήσεως τῶν τοῦ κυήματος χιτώνων· καὶ τὰ καταμήνια τῇσιν ἐν γαστρὶ ἐχούσῃσιν οὐ χωρέειν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν.

ἍΜα δὲ ϗ ἀπὸ τῆς [15] μητρὸς πνεούσης,
πνοὴν ἴσχει ϗ ἡ γονή· ὁκόταν γὰρ ἡ
[16] μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωϋτὴν ἀπὸ τοῦ
ἠέρος, ἐπαυρίσκεται ἡ γονή· θερμὴ δέ ἐ-
στιν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα, ϗ τότε δὴ
πνεῦμα ἴσχει ϗ ἀφίησι, ϗ ἡ γονὴ ὑμενοῦ-
ται φυσωμένη. Περιτέταται γὰρ ἀμφ᾽ αὐ-
τὴν τὸ ἔξωθεν συνεχὲς γινόμενον, ἅτε γλί-
σχρον ἐόν, ὥσπερ ἐπ᾽ ἄρτῳ ὀπτωμένῳ λε-
πτὸν ἐξίσταται ἐπιπολῆς ὑμενοειδές (θερμαινό-
μενος γὰρ ϗ [17] φυσώμενος αἴρεται) ἧ 6
δ᾽ ἂν φυσᾶται, κείνῃ τὸ ὑμενῶδες γίνεται.
Τῇ δὲ γονῇ θερμαινομένῃ ϗ φυσωμένῃ πάσῃ
ὑμὴν ἔξωθεν περιγίνεται· κατὰ δὲ τὸ μέσον
τῆς γονῆς τῷ πνεύματι δίοδος, ϗ ἔξω ϗ
ἔσω γίνεται διὰ τοῦ ὑμένος, ϗ ταύτῃ τοῦ
ὑμένος ἀπέχει τὸ λεπτὸν, ϗ τῆς γονῆς ἐν
αὐτοῖσιν ὀλίγιστόν ἐστιν· αὕτη δὲ ἡ ἄλλη γο-
νὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. Καὶ μὴν ἓξ ἡμέρας
μείνασαν [18] ἐν τῇ γαστρὶ γονὴν, ϗ ἔξω πε-
σοῦσαν αὐτὸς εἶδον, ϗ ὁκοίη μοι ἐφαίνετο ἐν
τῇ γνώμῃ τότε, ἀπ᾽ ἐκείνων τὰ λοιπὰ τεκ-
μήρια ποιεῦμαι. Ὡς δὲ εἶδον τὴν γονὴν [19]
ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. Γυναι- 7
κὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ᾽
ἄνδρας φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γα-
στρὶ, ὅκως μὴ ἀτιμοτέρη ἔῃ. Ἀκηκόει δὲ ἡ
μουσοεργὸς, ὁκοῖα γυναῖκες λέγουσι πρὸς ἀλ-
λήλας· ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γα-
στρὶ, οὐκ ἐξέρχεται ἡ γονὴ, ἀλλ᾽ ἔνδον μέ-
νει. Ταῦτα ἀκούσασα συνῆκε, ϗ τοῦτο ἐφύ-
λασσεν αἰεὶ, καί [20] πως ὡς ᾔσθετο οὐκ ἐ- 8
ξιοῦσαν τὴν γονὴν, [21] ϗ ἔφρασε τῇ δεσποί-
νῃ, ϗ ὁ λόγος ἦλθεν ὡς ἐμέ. Καὶ ἐγὼ ἀ-
κούσας ἐκελευσάμην αὐτὴν πρὸς τὴν γῆν πη-
δῆσαι· [22] ϗ ἑπτάκι ἤδη ἐπεὶ ἐπεπήδητο, 9
ἡ γονὴ κατερρύη ἐπὶ τὴν γῆν, ϗ ψόφος ἐ-
γένετο· [23] κἀκείνη δὲ ἰδοῦσα, ἐθεῆτο ϗ 10
31 ἐθαύμασεν. [24] Ὁκοῖον δὲ ἦν, ἐγὼ ἐρέω· οἷον 11
εἴτις ᾠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοιεν, ἐν
τῷ ἔνδον ὑμένι τὸ ἔνδον ὑγρὸν [25] διαφαί-

CAPUT II.

De genituræ ſpiritu, de tunicarum fœtus procreatione & incremento; & gravidis ſano fœtu menſtrua non fluere.

SImul autem, & a matre ſpirante, ſpiritum habet genitura; quum enim mater frigidum in ſe ipſam traxerit ab aere, eo genitura fruitur: calida autem eſt, utpote quæ in calido ſit, tuncque ſane ſpiritum habet, & emittit, & genitura, quum inflatur, membrana obducitur. Eidem enim exteriore parte quiddam obtenditur, quod cum viſcidum ſit, undique ſibi cohæret, & non ſecus ac in pane, dum torretur, tenue quippiam inſtar membranæ in ſuperficie extat (nam quum caleſcit, & inflatur, attollitur) qua vero parte inflatur, illic pelliculæ ſpecies exoritur. At toti genituræ calenti, & flatu tumenti exteriore parte membrana circumducitur; verum per membranam ad mediam genituram intro, & foras ſpiritui tranſitus fit, eaque parte membranæ tenue quiddam a genitura recedit, quæ in his locis pauciſſima ineſt; ipſa vero reliqua genitura rotunda eſt in membrana. Equidem genituram ſex diebus in utero retentam, & foras prolapſam ipſe vidi, & qualis tunc meo judicio viſa eſt, ex eo reliquorum conjecturam facio. Ut autem genituram ſex dierum exiſtentem viderim, ego narrabo. Mulieri nobis familiari perelegans erat cantrix, quæ cum viris verſabatur, & quam minime decebat gravidam eſſe, ne viliore loco haberetur. Hæc autem cantrix audierat, quæ mulieres inter ſe narrant; ſi quando conceptura ſit, genituram intus manere, neque foras egredi. Quibus auditis & intellectis, ea ſemper in animo habuit, quumque aliquando genituram non exire percepiſſet, dominæ expoſuit, ſermoque ad me pervenit. Quo audito, ego, ipſa ut in terram deſiliret, juſſi; & quum jam ſepties exiliiſſet, genitura in terram cum ſonitu defluxit, quam illa videns non ſine admiratione ſpectavit. Ego vero, qualis erat, referam: ut ſi quis ovo crudo externam teſtam undique auferat, in quo interi- ore

VARIÆ LECTIONES.

15 μήτρας Imp. Samb.
16 ἡ μήτηρ idem & Fevr. poſt ἐπαυρίσκεται, ϗ ἡ γονή, leg. Mercur. ex vet. Cod.
17 φυσώμενος ὁ ἄρτος. Imp. Samb. ϗ φυσώμενος ἄρτος τὸ ὑμενοειδὲς ἄρεται, ex MSS, Servin. & Fevr. ut & Imp. Samb. MS. Reg.
18 ἐν τῇ omiſſo γονὴν Cod. Florentinus.
19 Macrobius libr. I. Saturn. ἑκταίην legit, præſertim cum Hipp. etiam Comment. de ætate eadem commemoret, quæ hic. Vid. Zwing. Comment. ibid. οἰκέτις i. e. *domeſtica* Galen. leg. quæ lectio magis placeret, niſi Erotianus in voce ἑκταίη, citans hunc locum obſtaret.
20 καί πῶς Imp. Samb. & MS. Reg. καὶ ὡς ᾔσθετο Galen. legit Libro de fœtuum format. καί πῶς Zwing. in marg.
21 καὶ ἔφρασε, ϗ delet Imp. Samb.
22 Sic & Imp. Samb. quædam Exempl. MSta Vatican. ἑπτάκις ἤδη ἐπεὶ ἐπεπήδητο ut & Aldin. Codic. legunt. Galen. Libr. de fœt. format. ἐπεὶ ἑπτάκις ἀπεπήδητο. Calv. vero ἑπταίη ad diem ſeptimum refert. Superius pro τὴν γῆν, πυγὴν, Mercur.
23 Galen. Lib. de fœtuum format. κἀκείνη ἐθεᾶτο, ϗ ἐθαύμασεν legit. Lib. vero de ſemine κἀκείνη δὲ ἰδοῦσα ἐθεᾶτο αὐτὴν καὶ ἐθαύμασεν.
24 ὁκοίη, legit Galen. ὁκοῖον Mercur. ex vet. Cod.
25 διαφάνειτο idem.

ore membrana contentus humor pelluceat; modus quidem talis erat (ut abunde dicam) ruber erat liquor, & rotundus. In membranā autem fibræ albæ,& tenues inesse videbantur cum cruore crasso,& rubro contentæ; & circum membranam exteriore parte cruenta vestigia instar sugillatorum: in cujus medio tenue quiddam eminebat, quod mihi umbilicus esse videbatur, & per illum primum spiritum intro, & foras facere; ex eoque protendebatur tota membrana, genituram complectens. Talem equidem ego vidi genituram sex diebus conceptam. Adducam autem paulo post aliam cognitionis rationem, his omnibus, qui horum desiderio tenentur, manifestam,quæ,quantum homini de re ejusmodi dicere conceditur,omnem orationem meam probabit;ac de his quidē hactenus. Quod vero genitura contineatur membrana, spirationem intro, & foras habeat, & sanguine a matre in uterum delapso incrementum accipiat. Menstrua namque haud prodeunt, ubi mulier in se conceperit, si puer sanus futurus sit (nisi quibusdam primo mense modicam sui indicationem faciant;) sed promanans ab universo muliebri corpore sanguis, in orbem foris membranam circumstat; simulque cum spiritu sanguis per membranam, qua perforata est & extat, attrahitur, condensatur, & in futuri animalis augmentum cedit. Succedente autem tempore rursus aliæ multæ tenues membranæ, eo modo, quo prima, intra primam protenduntur, eæque ex umbilico extentæ mutuis inter se vinculis connexæ sunt. Quum vero jam hoc factum est, ex delapso, & concreto materno sanguine caro gignitur; sed ex carnis medio umbilicus extat, per quem spirat, & incrementum recipit.

νοιτο· τρόπος μέν τις ἦν τοιοῦτος, ἅλις εἰ-
πεῖν, ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. Ἐν δὲ
τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι [26] ἶνες λευκαὶ καὶ
12 παχεῖαι, " εἰλημμέναι σὺν ἰχῶρι παχεῖ καὶ
13 ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν " αἱμά-
λωπες· κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχε
λεπτὸν, ὅ, τί μοι ἐδόκεεν εἶναι ὀμφαλός·
κἀκείνῳ τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ
πρῶτον· καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας, ὁ
περιέχων τὴν γονήν. Τοιαύτην μὲν ἐγὼ εἶδον
ἑκταίην οὖσαν τὴν γονήν. Ἐρέω δὲ καὶ ἄλλην
14 διάγνωσιν " ὀλίγον ἐπὶ τούτῳ ὕστερον, [27] ἐκ-
φανέα παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι,
καὶ ἱστόριον παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀλη-
θὴς, ὡς εἰπεῖν ἄνθρωπον περὶ τοιούτου πράγμα-
τος· καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. Ὅτι
δὲ ἡ γονὴ ἐν ὑμένι ἐστὶ, καὶ πνοὴν ἔχει, καὶ εἴ-
σω, καὶ ἔξω, καὶ αὔξεται ὑπὸ τῆς μητρὸς τοῦ
15 αἵματος κατιόντος ἐπὶ τὰς μήτρας. " Τὰ
γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ
πρὸς ἑωϋτὴν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν·
(εἰ μὴ ἐστιν ᾗσιν ἐπισημαίνει τὸν πρῶτον μῆ-
να ὁκόσον ὀλίγον·) ἀλλὰ κατιὸν τὸ αἷμα
ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικὸς, κυ-
κλόσε περιΐσταται περὶ τὸν ὑμένα ἔξω· ἅμα
δὲ τῇ πνοῇ ἑλκομένου εἴσω τοῦ αἵματος διὰ
τοῦ ὑμένος, κατὰ τὸ τετρημένον, καὶ ἀπέχον,
συμπήγνυται, καὶ αὔξει τὸ μέλλον ζῶον ἔσε-
σθαι. Ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτε-
ροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ
πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, οἵῳ καὶ
ὁ πρῶτος ὑμὴν ἐγένετο· τεταμένοι δέ εἰσι καὶ
οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἐς ἀλλήλους δια-
δέσμους ἔχουσιν. Ὁκόταν δὲ ἤδη τοῦτο γένη-
ται, κατιόντος τοῦ αἵματος [28] ἀπὸ τῆς μητρὸς
καὶ πηγνυμένου, σὰρξ γίνεται· κατὰ δὲ μέ-
σον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ
πνέει καὶ τὴν αὔξησιν ἴσχει.

CAPUT III.

Unde menstrua gravidis non æque, ac iis, quæ uterum non gerunt, molesta sint; unde fœtus spiret, ac nutriatur: quando fiat conceptio; & quæ menstruorum suppressionem symptomata sequantur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁκόθεν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα, οὐχ ὁμοίως ταῖς μὴ ἐχούσαις ὑπὸ τῶν καταμηνίων πονέεται· ὁκόθεν τὸ παιδίον τὴν πνοὴν ἴσχει τε καὶ τρέφεται· ὁκότε γίνεται ἡ σύλληψις, καὶ τίνα συμπτώματα τῇ ἐπισχέσει τῶν καταμηνίων ἕπεται.

At vero mulier,quum uterū gerit,a mensibus minime prodeuntibus idcirco non laborat, quod sanguis singulis mensibus cumulate exire solitus non agitetur; sed sensim, paulatimque quotidie in uterum citra dolorem secedit, ex quo augetur, quod intus

Ἡ δὲ γυνὴ, ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν
καταμηνίων μὴ χωρεόντων, διὰ τόδε
οὐ πονέεται, ὅτι τὸ αἷμα οὐ ταράσσεται,
16 " βύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον· ἀλλὰ
χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ'
ἡμέρην ἐς τὰς μήτρας, καὶ τὸ ἔνδον ἐν τῇσι
μη-

VARIÆ LECTIONES.

26 loco ἶνες, τινὲς, Mercur. ex vet. Cod. εἰλημέναι Galenus ibidem legit. εἰλημέναι legere videntur Interpretes.
27 ἐμφανέα, Imperialis Sambucus, Servinus, & Fevr. & pro ἐπὶ τούτῳ, ἐν τούτῳ leg. Mercur. ex veter. Codice.
28 ἀπὸ τῆς μήτρης Cod. Florent. infra ῥόοδον Imp. Samb. ἀντὶ τοῦ ἀθρόως ῥόοδον & ῥόοδον Exempl. MSta Reg.

μήτρῃσιν ἐνεὸν αὔξεται. Καθ' ἡμέρην δὲ ἑ-
κάςην, τῦτυ ἕνεκα χωρέει, ἀλλ' οὐκ ἐς ἅπαξ
κατὰ μῆνα, ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεῦ-
σα ἕλκει ἀπὸ τῦ σώματος αἰεὶ, ὅκως ἂν κ.
δυνάμιος ἔχῃ, " 29 ταύτῃ κ. ἡ πνοή. Καὶ τὸ 17
μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται, κ. τὸ αἷ-
μα ' ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. Ὁκό-
ταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γίνηται, μᾶλλον
ἕλκει τὸ αἷμα, κ. ἐπὶ πλεῖον κατέρχεται ἐπὶ
τὰς μήτρας. Τῇσι δὲ ἐν γαςρὶ μὴ ἐχούσῃ-
σιν, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ
30 τάδε ὁ πόνος γίνεται. Πρῶτα μὲν ταράσ-
σεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕ-
κασον, ὑπὸ ἀνάγκης τοιῆσδε, ὅτι μὴν μη-
νὸς διαφέρει πουλὺ, κ. κατὰ ψῦξιν κ. κατὰ
31 θερμασίην, κ. τούτου αἰσθάνεται τῦ γυ-
ναικὸς τὸ σῶμα· ὑγρότερον γάρ ἐςιν, ἢ τὸ
τῦ ἀνδρός. Καὶ ταραχθέντος ' τῦ αἵματος, κ.
πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ'
αὐτῦ, " 32 καὶ πῶς τῦτο ἐν τῇ ἀρχῇ τῇ 18
φύσει ὑπῆρξεν. Ὥςε ἢν μὲν ἀποκενῶται τῦ
αἵματος ἡ γυνὴ, λαμβάνει ἐν γαςρί· ἢν
δὲ πλήρης ἔῃ, ὔ. Κενέων γὰρ τῶν μητρέων,
κ. τῶν φλεβῶν γινομένων τῦ αἵματος, λαμ-
βάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τὰς παῖ-
δας. Μετὰ γὰρ τῶν καταμηνίων τὴν κάθαρ-
σιν, " αἱ γυναῖκες 33 λαμβάνουσιν ἐν γαςρί. 19
Αἴτιον δὲ τὸ εἰρημένον. Ὁκόταν δὲ ταραχθὲν
τὸ αἷμα κ. ἀποκριθὲν, μὴ χωρέῃ ἔξω, ἀλλ'
ἐς ' τὰς μήτρας, αἱ δὲ μῆτραι μὴ 34 χά-
νωσι, θερμαινόμεναι δὴ ὑπὸ τῦ αἵματος
χρονιώτερον μένοντος, αἱ μῆτραι θέρμην τῷ
ἄλλῳ σώματι παρέχουσιν. Ἔςι δ' ὅτε κ.
διαδιδῦσιν 35 αἵματος ἐς τὰς φλέβας τῦ σώ-
ματος, ὅπῃ κ. αἱ φλέβες πληρεύμεναι πονέον-
ται, κ. οἰδήματα παρέχουσιν. Ἔςι δ' ὅτε
κ. κίνδυνος ἐκ τῦ τοιούτου χωλωθῆναι· ἔςι
δ' ὅτε κ. πρὸς τὴν κύςιν προσίςανται, καὶ
36 πιέζουσι, " κ. 37 κλείῦσι τὴν κύςιν, κ. 20
ςραγγουρίην παρέχουσιν. Ἔςι δὲ κ. ὅτε κ. πλή-
ρεες αἵματος ' ἐοῦσαι αἱ μῆτραι προσπίπτου-
σιν ἢ πρὸς τὰ ἰσχία, ἢ 38 πρὸς (τὴν) ὀσφὺν,
κ. πόνον παρέχουσιν· ἔςι δὲ ὁκόσαν ἐγχρο-
νίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μή-
τρῃσι σαπὲν πύον γίνεται, 39 κ. ἐνίῃσι κα-
τὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πύον. Ἔςι δὲ
ῇσι κ. κατὰ τὸν βυβῶνα ὡς φῦμα γίνεται,
κἀκεῖ πύον γενόμενον, ἐξῆλθε, κ. ἄλλα 40
πουλλὰ κακὰ τῇσι γυναιξὶ τοιουτότροπα γί-

in utero continetur. Singulis autem diebus, & non semel per mensem idcirco defertur, quod genitura, quæ in utero continetur, semper aliquid e corpore pro virium ratione trahit, ad eundemque modum etiam spiratio habet. Ac primo quidem parva est spiratio, & modicus sanguis ex matre fertur. Quum vero amplior fit spiratio, plus quoque sanguinis attrahit, & majore copia in uterum descendit. Iis vero, quæ minime uterum gerunt, ubi menses non prodierint, eas ob causas dolor oboritur. Primum quidem quolibet mense sanguis in corpore ex eo necessario agitatur, quod menses multum inter se frigore, & calore differant, idque mulieris corpus sensu percipit; humidius enim est, quam viri. Ubi autem agitatus est sanguis, & venas implevit, ab ipso deorsum fertur, id quod ei quodammodo ab initio a natura insitum est. Quare, si illo quidem sanguine vacuetur mulier, in utero concipit; si vero eo plena fuerit, minime. Uteris enim, & venis sanguine vacuis, mulieres in se fœtus concipiunt. Hæ namque mulieres post menstruam purgationem in utero concipiunt; causa vero dicta est. Quum autem agitatus, & secretus sanguis, minime foras, sed in uteros feratur, uteri autem non hiaverint, tum sane diutius immorante sanguine uteri incalescentes calorem reliquo corpori excitant. Quandoque etiam sanguinem in venas corporis transfundunt, ut & venæ impletæ doleant, & tumores excitent. Nonnunquam vero ex eo claudicationis periculum impendet; quin etiam interdum vesicam obsident, premuntque, & claudunt, urinæque stillicidium adferunt. Quandoque vero uteri sanguine redundantes, aut ad coxendicem, aut ad lumbos procidunt, doloresque exhibent; aliquando vero, ubi sanguis quinque, aut sex menses in utero immoratus est, putrescens in pus vertitur, & quibusdam pus per pudendum exit. Nonnullis etiam in inguine velut tuberculum oboritur, ibique pus factum foras prodit, & pleraque alia ejusmodi mala mulieribus contingunt, quum menstrua

 non

Variæ Lectiones.

29 αὐτὴ Cornar. legisse videtur. ταύτῃ Calvus. inferius pro ἐπὶ τὰς μήτρας, ἐς τὰς, leg. Mercur. ex vet. Cod. ἀπὸ τῆς μήτρης Codex Florentinus.
30 Pro τάδε Imp. Samb. τόδε ut & Fevr.
31 θέρμον, Imp. Samb. inferius loco τῦ γυναικὸς, τῆς γυναικὸς Mercur. ex vet. Cod.
32 Exempl. MSS. Reg. εἰ πᾶς. κλίσιας ἴσως. Mercur. ad oram ex veteri Codice.
33 μάλιστα λαμβάνουσι, leg. Exempl. Vatican. superius πρὸς σφᾶς ἰοῦντας Mercur. ibid. μὴ χωρέει pro χωρέῃ editi quidam Codices.
34 χαλῶσι Imperialis Sambucus, & Vatican. & Servin. & Fevr. pro χρονιώτερον, χρονίζοντος Vatic. Exempl. & Mercurial. in margine.
35 τοῦ αἵματος Imp. Samb. & Fevr. loco αἱ φλέβες, κ. Vatic. pro χωλωθῆναι Zwing. in margine χωλευθῆναι habet.
36 Pro πιέζουσι, legit Imp. Samb. πονέουσι ut & Serv. & Fevr.
37 κλείουσι, id est: urunt, editi Codd. Mercur. κ. πλήρεις inferius κ. omittunt quidam Codd.
38 πρὸς τὴν ὀσφύν, Imp. Samb. & Fevr. τὴν omittunt editi Codd.
39 καὶ πολλαῖς Imp. Samb. & ex MStis Servin. & Fevr. loco πύον πύλον Mercur. ex Cod. veteri, τὸ πύον Cod. Florent.
40 πολλὰ delet Imp. Samb.

non expurgantur. Sed quid ea hic recensere opus est? De his siquidem in morbis muliebribus dicetur.

νεται, ὁκόταν μὴ ἀποκαθαίρωνται τὰ κατα-
μήνια. Ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; εἰρή-
σεται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν.

CAPUT IV.

De secundinis, ac mirabili, primaque partium conformatione, quomodo fiat.

VErum eum, unde digressus sum, sermonem absolvam. Cum autem genita fuerit caro, tunc sanguine in utero increscente, etiam ipsæ membranæ augentur, ac sinuantur, præcipueque externæ. Et sanguis a matre descendens, quem sane caro spirando attraxerit, in incrementum cedit, quodque utile non fuerit, in membranarum sinus secernitur; quæ ubi in sinus excavatæ fuerint, & sanguinem exceperint, tunc jam secundæ appellantur. At hæc hactenus mihi dicta sint. At vero caro augescens a spiritu articulatur, in eaque abit unumquodque simile ad sui simile, densum ad densum, rarum ad rarum, humidum ad humidum, & unumquodque in propriam regionem abit, ad id, cum quo cognationem habet, & ex quo etiam ortum est. Et quæcunque ex densis orta sunt, densa sunt, & quæcunque ex humidis, humida, reliquaque ad eandem rationem in incrementum cedunt; atque ossa calore condensata durescunt. Ac sane, ut arbor, in ramos etiam dividuntur, multoque melius membra tum corporis interna, cum externa articulantur; ipsumque caput ab humeris distans exoritur; brachia item, & cubiti a lateribus; & crura inter se separantur; nervique circum naturas articulorum volvuntur; & os per se conformatur, & nasus & aures in carne eminent, ac perforantur, oculique humore puro implentur, & pudendum utrum sit, manifestum fit; & viscera ipsa formantur. Ac sane superioribus etiam partibus, tum ore, cum naribus, spirationem facit, & venter spiritu inflatur, eoque inflata intestina ex superioribus per umbilicum insuper spiritum accipiunt, & absumunt; & a ventre, ac intestinis in podicem, similiterque in vesicam via foras patet; atque horum singula a spiritu effinguntur; spiritu namque perflata omnia pro generis affinitate separantur. Etenim si vesicæ fistulam alligare velis,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ χορίων, καὶ τῆς θαυμαστῆς τε καὶ πρώτης διαπλάσεως τῶν μορίων, ὅπως γίνηται.

ΑΛλ' ὅθεν ἀπέλιπον, περανέω τὸν λόγον.
Ὁκόταν δὲ γένηται σὰρξ, τότε οἱ
ὑμένες αὐξομένε τῆ ἐν τῇσι [41] μήτρῃσιν (ἐνεόν-
τος) αἵματος, αὔξονται καὶ αὐτοὶ, καὶ κολποῦνται,
καὶ μάλιστα οἱ ἔξωθεν. Καὶ τὸ αἷμα κατελ-
θὸν τὸ ἀπὸ τῆς μητρὸς, ὅ, τι ἂν ἡ σὰρξ
21 πνέουσα ἑλκύσῃ, καὶ [42] ἡ αὔξη ἐγγένηται, "καὶ
(ἣν μὴ) χρηστὸν [43] ἔῃ, ἐς τοὺς κόλπους τῶν ὑ-
μένων ἀποκρίνεται· καὶ ὁκόταν κολπωθῶσι, καὶ
τὸ αἷμα δέξωνται, τότε ἤδη καλέεται [44] χό-
ριον." Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. Ἡ δὲ
σὰρξ αὐξομένη ὑπὸ τοῦ πνεύματος ἀρθροῦ- 32
ται, καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον τὸ ὅμοιον,
ὡς τὸ ὅμοιον· τὸ πυκνὸν, ὡς τὸ πυκνόν· τὸ
ἀραιὸν, ὡς τὸ ἀραιόν· τὸ ὑγρὸν, ὡς τὸ ὑγ-
ρὸν, καὶ ἕκαστον ἔρχεται εἰς χώρην ἰδίην κατὰ
τὸ συγγενὲς, ἀφ' οὗ καὶ ἐγένετο. Καὶ ὅσ' ἀπὸ
πυκνῶν ἐγένετο, πυκνά ἐστι· καὶ ὅσ' ἀπὸ
ὑγρῶν, ὑγρά· καὶ τ' ἄλλα κατὰ τὸν αὐτὸν
λόγον γίνεται ἐν τῇ αὐξήσει· καὶ τὰ ὀστέα
σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα.
Καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον, καὶ ἀρθροῦ-
ται ἔτι ἄμεινον, καὶ τὰ εἴσω τοῦ σώματος, καὶ
τὰ ἔξω· καὶ ἥτε κεφαλὴ γίνεται ἀφεστηκυῖα
ἀπὸ τῶν ὤμων, καὶ οἱ βραχίονες καὶ οἱ πή-
χεες ἀπὸ τῶν πλευρέων· καὶ τὰ σκέλεα [45] διΐσ-
22 ταται ἀπ' ἀλλήλων; καὶ τὰ νεῦρα " [46] ἑλίσ-
23 σεται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων·" καὶ
αὐτοσομοῦται, καὶ ἡ ῥὶς, καὶ τὰ οὔατα [47] ἀ-
φίσταται ἐν τῇσι σαρξὶ, καὶ τετρήνεται· καὶ
οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ· καὶ
τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι· καὶ
τὰ σπλάγχνα διαρθροῦται. Καὶ δὴ καὶ τοῖσιν
ἄνω τὴν πνοὴν ποιέεται, τῷ τε στόματι καὶ τῇ
ῥινὶ, καὶ ἥτε κοιλίη φυσᾶται, καὶ τὰ ἔντερα
καταφυσώμενα [48] κατὰ τὸ ἄνωθεν ἐπιλαμ-
24 βάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοὴν, "καὶ ἀμαλ-
25 δύνει· καὶ " ἐς τὸν [49] κύσσαρον ὁδὸς γίνε-
ται ἀπὸ τῆς κοιλίης, καὶ τῶν ἐντέρων ἔξω, καὶ
ἐς τὴν κύστιν ὁδὸς ἔξω· τούτων δὲ διαρθροῦ-
ται ἀπὸ τῆς πνοῆς ἕκαστα· φυσώμενα γὰρ
διΐσταται σύμπαντα κατὰ συγγένειαν. Καὶ
γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει,
καὶ

VARIÆ LECTIONES.

41 μήτρῃσιν ἐνεόντος αἵματος, Imp. Samb. & ex MSt. Servin. & Fevr.

42 ἡ delet Imp. Samb. καὶ ἡ αὔξησις Mercur. ex Cod. vet.

43 εἴη legunt omnes Interpretes. Cornar. καὶ οὐ χρηστὸν legisse videtur. Verum κἢν μὴ χρηστὸν ἔῃ videtur legendum esse notante Zwingero, quod sequimur.

44 χορίον editi Codd. pro χόριον, quam lection. notat Mercur. ex Cod. veteri. Ib. τὸ ὅμοιον Imp. Samb. τὸ omittunt Codd.

45 διΐσανται Imp. Samb.

46 Sic leg. cum Merc. ἐπαίσσεται, id est: *exiliunt* editi Codices.

47 ἀφίσανται Imper. Samb. Ibid. post ἐμπίπλανται desiderantur in Cod. Flor. verba, ὑγροῦ, καθαροῦ· καὶ τὸ αἰδοῖον δῆλον γίνεται.

48 pro κατὰ τὸ ἄνωθεν Galen. ἀπὸ τῆς διὰ στόματος εἰσπνοῆς, legit.

49 τὸν πρῶκτον Imp. Samb. κίσσαρον Erotian. ibidem φυσώμενον μὲν leg. Mercur. ex Cod. vet.

καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας [50] φυσῆν διὰ τοῦ αὐλίσκου· πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι· ἔπειτα δὲ, χρόνῳ φυσώμενα ἐλεύσεται, ὅ, τε μόλιβδος, ὡς τὸν μόλιβδον, καὶ ἡ ψάμμος, ὡς τὴν ψάμμον, καὶ ἡ γῆ ὡς τὴν γῆν. Καὶ ἤν τις αὐτὰ [51] ἀνανθῆναι ἐάσῃ, καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτῶν [52] τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός. Οὕτω δὴ καὶ ἡ γονὴ καὶ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν ἑωυτῇ τὸ ὅμοιον ὡς τὸ ὅμοιον. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

& per fistulam in vesicam; terram, arenam, & tenuia plumbi ramenta immittere, insuperque aqua per fistulam affusa inflare vesicam; primum quidem illa aquæ permiscebuntur, deinde vero temporis progressu, flatu agitata secedent, plumbumque ad plumbum, arena ad arenam, & terra ad terram abibit. 26 Ac si quis ea arescere permittat, disruptaque vesica contempletur, simile ad sui simile se contulisse comperiet. Sic sane etiam genitura, & caro discernuntur, in eaque simile quodque ad sui simile secedit. Atque ista quidem ea de re a me dicta sunt.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ χρόνου τῆς τοῦ ἄρσενός τε καὶ τοῦ θήλεος πήξεως, καὶ τῆς τῶν λοχίων καθάρσεως τῆς ταῖς γυναιξὶν ἀναγκαίας· ἧς ἐπίσχεσις οὐκ ἀκίνδυνος.

CAPUT V.

De tempore conformationis pueri, & puellæ, & purgationis lochiorum mulieribus necessariæ, cujus suppressio periculosa.

ΚΑὶ γέγονεν ἤδη παιδίον, καὶ εἰς τοῦτο ἀφικνέεται, τὸ μὲν θῆλυ τὴν πρώτην πῆξιν ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον· τὸ δὲ ἄρσεν ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. Ὡς γὰρ ἐπιπολὺ συμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι, ταῦτα διαρθροῦσθαι. Καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπιτοπολὺ, [53] ἐπὶ μὲν τῇ κούρῃ, ἐν ἡμέρῃσι τεσσαράκοντα καὶ δύο, οὕτως ἡ χρονιωτάτη, τελείη, (ἀκίνδυνος δ᾽ ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο.) Ἐπὶ δὲ τῷ κούρῳ, ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα, οὕτως ἡ χρονιωτάτη [54] τελείη· ἀκίνδυνος δ᾽ ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν εἰ καθαίροιτο. Τοῦ δὲ ὑστάτου χρόνου, ἐλαχίστη χωρέει ἡ κάθαρσις. Ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι καθαίρονται· ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλείοσι. Μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ, καὶ ἐν τοῖσι λοχίοισιν αἱ πρωτοτόκοι, καὶ αἱ ἐλάσσω τετοκυῖαι τῶν πλέω τετοκυιέων μᾶλλον πονέονται. Αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ, τούτου εἵνεκα γίνονται, ὅτι ἐν τῷ πρὸ τοῦ χρόνῳ, μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξην τῷ παιδίῳ· τὸ δὲ ἀπὸ τούτου πλεῖον, μέχρι [55] τέκῃ. Δεῖ δὴ τὴν κάθαρσιν ἀποδοθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν

JAm vero formatus est infans, eoque pervenit, ut fœmina quidem primam concretionem duobus & quadraginta diebus, ut longissime accipiat; masculus vero triginta diebus, ut longissime. Ut plurimum enim hoc tempore, aut paulo breviori, aut paulo 27 longiori ipsis articulatio contingit. Nam & purgatio a partu fit mulieribus, ut plurimum, in puella quidem concepta duobus & quadraginta diebus, eaque ut maxime diuturna, ita perfecta est, (extra tamen periculum fuerit, si etiam quinque & viginti diebus purgetur) In masculo vero purgatio diebus triginta contingit, sicque hæc longissima, perfecta est; extra tamen periculum fuerit, si diebus viginti purgetur. Postremo vero tempore quam parcissima purgatio procedit. Quin etiam juniores paucissimis diebus, seniores vero pluribus repurgantur. In partu autem, & puerperii purgamentis maxime laborant, ac dolent mulieres primiparæ, & quæ minus sæpe, quam quæ sæpius pepererere, magis cruciantur. At vero purgationes a partu ea de causa mulieribus contingunt, quod primo tempore ad duos & quadraginta dies in fœmina, in masculo vero ad dies triginta paucissimus sanguis in pueri incrementum descendat; ab eo vero tempore ad partum usque copiosior. Ac sane purgationem in partus purgamentis reddi, & foras exire pro dierum ratione opor-

VARIÆ LECTIONES.

50 φυσᾶν Imper. Samb.
51 ἀνανθῆναι Cod. Florent. & Ald. quam lectionem amplexi sumus. ἀναθῆναι Imp. Samb. ἀνεθῆναι ἰδὲ ex MS. Servin. ἀνεθῆναι Fevr. & editi Codic. ἀναξηρανθῆναι Martini.
52 ὡς τὸ ὅμοιον Imp. Samb. & Fevreus.
53 συμβαίνει δὲ ἐπὶ μὲν τῇ κούρῃ ἡμέρῃσι τεσσαράκοντα καὶ δύο, legunt MSta Reg. & Vaticana quæd. Ibid. οὐκ ἀκίνδυνος Calvus, contra tamen omnium Codicum fidem, & rei veritatem leg.
54 καὶ τελείη, Imp. Samb. & Fevr. & Mercur.
55 μέχρις ἂν τέκῃ Imp. Samb. & Fevr. inferius loco πάνυ ὀλὸ, μᾶν legit Mercurialis ex veteri Codice, paulo post κοτύλη ἢ ὅλη ἢ καί.

oportet. Principium autem in ejusmodi muliere tale est. In partus doloribus sanguis mulieri commovetur, & a valido pueri motu vehementer incalescit. Commotus vero is quidem primus foras prodit (deinde puer) post puerum vero sanies crassa, & cruenta, fitque huic ductus quidam, non secus ac aquæ in mensam effusæ. Deinceps post illum per omnes dies, ad usque prædictum tempus, purgatio procedit; primo quidem, quantum hemina attica una & dimidia, vel paulo plus, aut minus, pro ejus ratione, dum cesset. Prodit autem, velut a victima sanguis, si sana sit, & sana futura sit mulier, citoque concrescit. Si vero sana non sit mulier, neque sana futura, purgatio tum parcior, tum specie deterior prodit, neque cito concrescit. Sic autem se res habet. Si mulier uterum gerens morbum habuerit, qui non sit puerperii purgationibus affinis, perit; si vero uterum gerens prioribus diebus non statim repurgetur, sive bene valeat, sive minus, eique de repente purgatio sive sponte, sive a medicamento commoveatur, pro ratione dierum, quibus semel non profluxit, procedet. Nisi enim a partus purgamentis mulier repurgetur, magno morbo corripietur, vitæque periculum incurret, nisi cito curetur, & aliquis convenientem ipsi purgationem promoveat. Hæc propterea a me adducta sunt, quo demonstrarem membrorum distinctionem in pueris fieri: fœminæ quidem intra duos & quadraginta dies, ut longissimam; masculo vero intra dies triginta. (argumentum est e partu purgatio, quæ quidem in puella duobus & quadraginta diebus contingit; in masculo vero, quæ longissima, triginta diebus.) Ac sane denuo idem perspicuitatis gratia repetam. Assevero enim, quod semine in utero contento sanguis ille, qui a muliere in utero fœmineam genituram gerente paucissimus venit, duobus & quadraginta diebus vicissim redditur. Puerorum enim membra his diebus distinguuntur. Ex eo vero tempore copiosior sanguis affluit, quod rursum in masculo pro ratione triginta dierum accidit. Quæ quidem ita se habere, & vera esse, hoc altero argumento constat. Posteaquam in uteros genitura delapsa est, primis diebus paucissimus sanguis a muliere in uterum fertur; deinde vero copiosior.

ἡμερέων. Ἀρχὴ δὲ γίνεται τοιαύτη τῇ
γυναικί. Ἐν τῇ ὠδῖνι τὸ αἷμα ταράσσεται
τῇ γυναικὶ, καὶ θερμαίνεται πάνυ ὑπὸ τῆς κι-
νήσιος τοῦ παιδίου σθεναρῆς ἐούσης. Ταρα-
χθὲν δὲ πρῶτον μὲν ἔρχεται ἔξω, (ἔπειτα
28 τὸ παιδίον) μετὰ δὲ τὸ παιδίον, ἰχὼρ πα-
χὺς αἱματώδης· καὶ ὑφήγησις ἐγένετο τούτῳ,
ὥσπερ ὕδατι ἐπὶ τραπέζης. Ἔπειτα μετ'
ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κά-
29 θαρσις, ἕως τοῦ εἰρημένου χρόνου, πλῆθος ἀττι-
κὴ κοτύλη ὅλη καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ
πλείων, ἢ ὀλίγῳ ἐλάσσω, κατὰ λόγον τούτου μέ-
χρις ἂν λήξῃ. Χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου
[56] ἣν ὑγιαίνῃ ἡ γυνὴ, καὶ ἢν μέλλῃ ὑγιαίνειν,
καὶ ταχὺ πήγνυται· ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνὴ,
μηδὲ μέλλῃ ὑγιαίνειν, χωρέει ἡ κάθαρσις
ἐλάττων, καὶ εἶδος [57] πονηροτέρη, καὶ οὐ ταχὺ
πήγνυται. Ὧδε δὲ τοῦτο ἔχει· Ἤν τι ἡ γυ-
νὴ ἐν γαστρὶ [58] ἔχουσα νόσημα ἔχῃ [59] μὴ
30 συγγενὲς, ἐὸν τῇ λοχίῳ καθάρσει ἀπόλλυ-
ται· ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρό-
σθεν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα εὐθὺς, ὑγιει-
νὴ ἐοῦσα, εἴτε καὶ μὴ, [60] ἐσσυθῇ δὲ οἱ ἡ κά-
θαρσις, εἴτε ὑπὸ φαρμάκων, εἴτε καὶ αὐ-
τομάτη, ἐξαίφνης, κατὰ λόγον τῶν ἡμερέων
χωρήσει, ὧν οὐ χωρέει ἐς ἅπαξ. Ἢν γὰρ μὴ
ἀποκαθαίρηται τὰ λόχια ἡ γυνὴ, νοῦσος
αὐτῇ μεγάλη ἔσται καὶ κινδυνεύσει ἀποθανεῖν,
ἢν μὴ μελεδαίνηται ἐν τάχει, καί τις αὐτῇ
προσήκουσαν ἐπάγῃ τὴν κάθαρσιν. Ταῦτα
δ' εἰσενεγκάμην ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω,
ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν με-
λέων ἡ μακροτάτη, ἐπὶ μὲν τῇ κούρῃ, ἐν
τεσσαράκοντα καὶ δυοῖν [61] ἡμέρῃσιν· ἐπὶ δὲ τῷ
κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν. (Ἱστόριον 33
ἡ κάθαρσις τῶν λοχίων, ὅτι ἐπὶ μὲν τῇ κού-
ρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν·
[62] ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν, ἡ
χρονιωτάτη.) Μέλλω δὴ τὸ δεύτερον νῦν ὀ-
νομάζειν, σαφηνείης ἕνεκα. Φημὶ γὰρ ἀντα-
ποδίδοσθαι, ὅτι ἐν τῇσι μήτρῃσιν ἐνεούσῃ
τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς
γυναικὸς ἐπὶ τὰς μήτρας θῆλυν γονὴν ἐ-
χούσης, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρη-
σιν. Ἐν γὰρ [63] ταύτῃσι διαρθροῦται τὰ
μέλεα τῶν παιδίων. Ἀπὸ δὲ τούτου τοῦ χρό-
νου ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα· καὶ ἐπὶ τῷ
κούρῳ πάλιν, κατὰ λόγον τῶν τριήκοντα ἡ-
μερέων. [64] Ὧδε δὲ ἔχει ἕτερον ἱστόριον τοιόν-
δε, ὅτι ταῦτά ἐστιν ἀληθέα. Τῇσι πρώτῃσι
τῶν ἡμερέων, ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας
πέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυ-
ναικὸς ἐς τὰς μήτρας· ἔπειτα δὲ ἐπὶ πλεῖον.

Εἰ

VARIÆ LECTIONES.

56 ὑγιηρὴ ᾖ, Fevr. ut & Imp. Samb. & MS. Imp. legunt. ἐλάσσω, ἐὸν κατὰ λόγον leg. Mercur. ex Cod. vet: ibidem πήγνυται ἢν δὲ μὴ ὑγιηρὴ, legit idem. A πήγνυται usque ad ὧδε δὲ τοῦτο ἔχει. quæcunque interjacent in edito, desiderantur in Codice Florentino.

57 πονηρότερον Imp. Samb. & Fevr.

58 Pro ἔχουσα νόσημα Imp. Samb. νόσημα ἔχῃ deleto ἔχουσα.

59 Sic cum Mercur. leg. editi Codic. μὴ συγγενὲς ἐν τῇ λοχίῳ καθάρσει, i. e. *minime affinem, in partus purgatione perit.*

60 ἐπεσσυθῇ δὲ οἱ ἡ κάθαρσις Zwing. in margine.

61 Post verbum ἡμέρῃσιν habet Cod. Flor. ἡ χρονιωτάτη. deinde desideratur in Cod. quicquid in edito interjacet verbum ἡμέρῃσιν ἡ χρονιώτατη. ibidem. Ἱστόρια, Aldus habet.

62 Pro ἐπὶ Imp. Samb. ἐν δὲ habet.

63 Post ταύτῃσι Imper. Samb. addit τῇσιν ἡμέρῃσι.

64 Imp. Samb. sic habet ὧδε ἔχει, ἕτερον δὲ ἱστόριον τόδε & τόδε Fevreus legit. paulo post pro, πέσῃ Imp. Samb. ἐμπέσῃ

Εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἄν, τοῦ αἵματος ἰόντος πολλοῦ· ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον· χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων πλείστη, εἶτα ἐπ' ἐλάσσω, [65] ἕως ἂν λήξῃ. Πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο· ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τῇσι τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα. Καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων, ὁκόταν [66] διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων. Ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται, καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα· ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν, ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα. Ἱστορέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων, καὶ τῶν λοχίων αἱ καθάρσιες. Αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται· ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης, ἢ τοῦ ἄρρενος· καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄρρεν· καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείᾳ [67] ἢ τῷ ἄρσενι. Ἀναβήσομαι δὲ αὖθις ὀπίσω, ὅθεν ἀπέλειπον.

Si enim confertus, multusque unico impetu accederet, genitura spirationem habere non posset, sed sanguinis irruentis copia suffocaretur, contra vero in purgatione vicissim redditur; a partu enim purgatio primis diebus plurima prodit, deinde paucior, donec penitus desinat. Multæ autem jam mulieres fœtum masculum paulo ante trigesimum diem abortione perdidere, sed non articulatus conspectus est; qui vero paulo post, aut eo ipso die rejecti sunt, omnes articulati apparuerunt. Sic etiam in fœmella pro ratione duorum & quadraginta dierum, si quando abortu perierit, membrorum articulatio apparet. Sive autem prius, sive posterius puer abortione pereat, sic se habere membrorum articulatio, & ratione, & necessitate conspicitur: in puella quidem duobus & quadraginta diebus; in puero vero triginta. Hujus siquidem rei fidem faciunt foetuum abortiones, & puerperii purgationes. Quod autem fœmina posterius conformetur, & articuletur, hæc causa est: quod ipsius genitura imbecillior sit, & humidior, quam mascula, eaque ratione fœminam tardius, quam masculum conformari necesse est; & in puella diuturniorem esse purgationem, quam in masculo. Nunc vero ad id, unde digressus sum, revertar.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς θαυμαστοῦ τῶν μορίων διαρθρώσεως, ὅκως καὶ ὁκότε γένηται· περὶ τῶν ὀστέων τε καὶ φλεβῶν, καὶ νεύρων, ὀνύχων, ἐπιδερμίδος τε καὶ τῶν τριχῶν.

CAPUT VI.

De mirabili partium formatione, quomodo, & quando fiat: de ossium, venarum, nervorum, unguium, pilorum, & cuticulæ formatione.

Ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων αὐξομένου αὐτοῦ, τάτε ὀστέα [68] ἐπισκληρότερα γίνεται, καὶ κοιλαίνεται, καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. Κοῖλα δὲ ἐόντα, ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν τοῦ [69] αἱμάλωπος τὸ ποιώτατον· καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων· ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται, οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν· ἐπὶ δ' αὐτῶν [70] τῶν ἄκρων οἱ ὄνυχες φύονται. Τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, εἰς τοὺς δακτύλους τῶν ποδῶν, καὶ τῶν χειρῶν. Καὶ παχύταταί μέν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες, [71] αἱ ἐν τῇ κεφαλῇ· ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι, καὶ τοῖσι βραχίοσι, καὶ τοῖσι πήχεσιν. Ἐν δὲ τοῖσι ποσὶ, καὶ τῇσι χερσὶ λεπτόταταί καὶ πυκνόταται, καὶ πλεῖσται φλέβες εἰσί· καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα, καὶ πλεῖστα,

POsteaquam vero articulatus puer fuerit, speciebus membrorum ipsius augescentibus, tum etiam ossa duriora evadunt, & excavantur, atque hæc a spiritu efficiuntur. Cava autem quum sunt, ad sese a car-
31 nibus, quod in sanguine pinguissimum est, attrahunt, & temporis successu extrema ossa in ramos diducuntur; sicut enim arboris summa postremo ramos spargunt, ita & in puero manuum, & pedum digiti inter se diffident; in ipsis autem partibus extremis ungues nascuntur. Venæ enim omnes corporis humani in pedum, & manuum digitos desinunt. Et crassissimæ quidem sunt ve-
32 næ in corpore, & in capite; deinde in cruribus, & brachiis, & cubitis. At in pedibus & manibus tenuissimæ, densissimæ, & plurimæ venæ sunt; itemque nervi tenuissimi, densissimi, & plurimi, ossa-

VARIÆ LECTIONES.

65 ἕως ἂν λήξῃ, Imp. Samb. ἂν quidam non legunt.
66 ὁκόταν γὰρ Fevr. & Imp. Samb.
67 Post ἄρσενι, γίνεται addit Fevr. ut & Imp. Samb.
68 ἔτι σκληρότερα Imp. Samb.
69 αἱμάτιος MSta Reg. τοῦ αἵματος Imper. Sambuc. Ad verbum αἱμάλωπος habetur in margine Codicis Florentini, ἐμοὶ δοκεῖ τοῦ αἵματος.
70 τῶν ἄκρων, τῶν delet Imp. Samb.
71 In Ald. & Vatic. Cod. leg. ἐν τῷ σώματι φλέβες καὶ ἐν τῇ κεφαλῇ, quo in loco Foes. & Gorrh. placuit, ut ἐν τῷ σώματι legatur.

ossaque magnitudine minima; eaque præcipue in manuum ac pedum digitis. Ex digitis autem, nimirum quum ossa densa (&) parva habeant, venas etiam ac nervos itidem parvos ac densos; ita ex ipsis ungues tenues, & densi oriuntur, qui extremas venas comprehendunt, adeo ut nec amplius augescant, neque alia aliam excedat; ut minime mirum sit, si ungues exteriore corporis parte densissimi sint, quum ex densissimis constent. Simul autem cum unguibus etiam pili in capite radices agunt. Ac pilorum natura sic se habet. Hi siquidem maximi, & plurimi nascuntur, qua summa corporis cuticula rarissima est, & ubi pilus moderatum humorem in alimentum habet. Ac ubi summa cuticula postea rara fit, ibi deinceps quoque pili nascuntur, veluti in mento, pube, & alio quovis loco. Nam simul, ac genitale semen oritur, caro, & extrema cuticula rarior evadit, venulæque magis quam antea aperiuntur. Quum enim adhuc puer est, venulæque tenues sunt, per eas genitura ferri non potest; eademque ratio est in virginibus circa menstrua. Simul autem in virginibus aperitur via menstruis, & geniturae; & puero ac virgini, extrema cuticula rarescente, pilus in pube nascitur, simulque moderatum, neque minorem in alimentum humorem habet. Sic vero, & in viri mento se res habet; rarescit enim summa cuticula, delata in eam a capite humiditate. Simul siquidem & in coitu, simulque intermedio tempore, moderatam humiditatem in alimentum pilus habet; tuncque maxime, quum humiditati, quæ in coitu a capite in mentum (utpote) a pectore dissitum descendit, longior mora contingat. In rarissimis autem summæ cuticulæ partibus pilos enasci indicio est; quod si quis velit inurere cutem, & pustulam solum facere, eamque sanare, cutis densa reddita nullum prorsus ex cicatrice pilum emittet. Qui vero ætate adhuc puerili eunuchi fiunt, eamque ob causam neque in pube, neque in mento pilos producunt, lævesque toti sunt, quod nondum geniture via facta sit, nusquam rarescit summa superficiei cuticula. Nam quemadmodum paulo ante a me dictum est, intercepta est geniture via. Mulieres autem mento, & toto corpore glabræ sunt;

ϗ ὀςέα ἐλάχιςα τῷ μεγέθει· [72] τῶν δὲ χειρῶν ϗ τῶν ποδῶν, ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιςά ἐςιν. Ἐκ δὲ τῶν δακτύλων, ἅτε πυκνὰ ἐχόντων ὀςέα [73] (ϗ) σμικρὰ, ϗ φλέβας ϗ νεῦρα· ὕτως οἱ δ' ὄνυχες φύονται ἐξ αὐτῶν λεπτοὶ ϗ πυκνοί· ϗ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥςε μηκέτι αὔξεσθαι αὐτὰς, μηδὲ προέχειν ἑτέρην ἑτέρης· ὥςε μὴ θαυμάζειν, ὅτι οἱ ὄνυχες ἐξωτάτω τȣ̃ σώματος πυκνότατοί εἰσιν, ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. Ἅμα δὲ τοῖσιν ὄνυξι, ϗ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται. Ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. Φύονται μὲν γὰρ μέγιςαι ϗ πλεῖςαι, ὅκου τȣ̃ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐςὶ, ϗ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. Καὶ ὅκου ἡ ἐπιδερμὶς ὕςερον ἀραιὴ γίνεται, ἐκεῖ ϗ ὕςερον αἱ τρίχες φύονται, ἐπί τε τῷ γενείῳ ϗ τῇ ἥβῃ, ϗ εἴπου ἄλλοθι. Ἅμα γὰρ τῷ γόνῳ γινομένῳ, ἡ σὰρξ ἀραιὴ γίνεται, ϗ ἡ ἐπιδερμὶς, ϗ τὰ φλέβια ςομοῦνται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. Παιδὶ γὰρ ἐόντι, ϗ τῶν φλεβίων λεπτῶν ἐόντων, οὐκ ἐγχωρέει δι' αὐτῶν ἡ γονή. Καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων, ὡὗτὸς λόγος. Ἅμα δὲ ὁδὸς προσγίνεται, ϗ τοῖσι καταμηνίοισι ϗ τῇ γονῇ, τῇσι παρθένοισι· καὶ τριχοῦται ἡ ἥβη τȣ̃ παιδὸς ϗ τῆς παρθένȣ, ἀραιῆς τῆς ἐπιδερμίδος γινομένης, καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην εἰς τὴν τροφὴν ἔχει ϗ οὐκ ἐλάσσονα. Οὕτω δὲ ϗ ἡ ἐπὶ τȣ̃ γενείου τȣ̃ ἀνδρὸς ἔχει. Ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης εἰς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. Ἅμα μὲν γὰρ ϗ ἐν τῇ λαγνείῃ, ἅμα δὲ ϗ ἐν τῷ μεταξὺ χρόνῳ, ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφήν· [77] τότε δὲ μάλιςα, ὁκόταν τῷ ὑγρῷ ἐν τῇ λαγνείῃ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐπὶ τὸ γένειον, ὁ χρόνος ἐγγένη- 33 ται, ἀπέχοντι τῶν ςηθέων. Σημήϊον δὲ ὅτι ἐν τοῖσι ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες· εἴτις ἐθέλοι ἐπικαῦ- 34 σαι τὴν ἐπιδερμίδα, ϗ φλύκταιναν μόνον ποιῆσαι ϗ ὑγιῆναι, πυκνὴ γενομένη ἡ ἐπιδερμὶς, κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσεται. Ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, διὰ τȣ̃το ὔτε ἡβῶσιν, ὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι· ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένη, οὐκ ἀραιοῖ τὴν ἐπι- 34 δερμίδα ἐπὶ τῷ σύμπαντι [75] δέρματι. Ἀπολέληπται γὰρ ἡ ὁδὸς τῆς γονῆς, ὥσπερ μοι εἴρηται, ὀλίγῳ πρότερον. Αἱ δὲ γυναῖ-

κες

VARIÆ LECTIONES.

72 Post μεγέθει quæd. Exemp. habent ϗ πυκνότατα ϗ πλεῖςα.

73 ϗ σμικρὰ, Imp. Samb. & Fevr. Ib. post πυκνότατοί εἰσιν desiderantur in Cod. Florent. ἐκ γὰρ τῶν πυκνοτάτων εἰσι, & contra habentur verba ἅμα δὲ τοῖσιν κτλ.

74 Hunc certe locum corruptum ex Zwingeri mente restituimus, nam in editis Codicibus nullo prorsus sensu ita legitur: τὸ δὲ μάλιςα, ὁκόταν ὁ χρόνος ἐγγένηται τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ, ἀπέχων τῶν ςηθέων, ἐπὶ τὸ γένειον, id est: *tuncque maxime, quum tempus contingit humiditati de capite descendenti in coitu, ad mentum a pectore distans.* ἀπέχον legunt fere omnia Exemplaria, quæ secuti sunt Interpretes, & ad γένειον referunt. Zwingerus vero ἀπέχων legit, eique ὁ χρόνος jungit, etsi in sua versione ἀπέχον ad γένειον retulit. Nos autem præeunte Foesio ἀπέχοντι legimus, ut τῷ ὑγρῷ respondeat. ἀπὸ τῶν ςηθέων Imperialis Sambucus habet.

75 ἐν σώματι, id est: *in corpore*, mavult Gorrhœus, & Mercurial. ex Codd. vet.

κες λεῖαι γίνονται τό, τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ, σφέων τὸ ὑγρὸν οὐχ ὁμοίως κλονεόμενον, ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. Ὁκόσοι δὲ φαλακροὶ γίνονται, οὗτοι δὴ φλεγματώδεές 35
εἰσι, καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, προσπίπτον πρὸς τὴν ἐπιδερμίδα, καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες. Οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή· οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ, καίει τῶν τριχῶν τὰς ῥίζας.
Αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν 36
πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα, καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα, ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται. Καὶ ὁκόσοι ἐκ γενετῆς πολιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστὶν, ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. Ἔχει δὲ καὶ τόδε ὧδε. Ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκῃ, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

quod ipsis in actu venereo non perinde agitatus humor, ac viris, summam cuticulam raram non efficiat. At qui calvescunt, ii sane pituitosi sunt, & pituita per coitum in eorum capite agitata, & incalescens, in summam cuticulam illapsa, pilorum radices exurit, ita ut pili excidant. Eunuchi autem eam ob causam non calvescunt, quod illis non fit vehemens motus, neque pituita in coitu incalescens pilorum radices exurat. Cani autem ob id fiunt, quod longo tempore pertranseunte humore in homine, id, quod candidissimum est, secernitur, & in summam cuticulam illabitur, ita ut attracta candidiore humiditate pilus quam antea candidior evadat, ipsaque summa cuticula, eo præsertim loco, ubi cani sunt, quam quovis alio, candidior fit. Quicunque ex nativitate canum quid habent in capite, illis summa cuticula, ubi cani sunt, quam alia quævis, candidior fit, quod illic albissima humiditas insit. Sic autem se res habet. Qualem humorem caro attraxerit, sive flavum, sive nigrum, talem etiam colorem capillus imbuit. Ac de his quidem hactenus.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ κινήσεως παιδίου, καὶ τῆς γενέσεως γάλακτος, καὶ τῆς αὐτοῦ εἰς τὴν μήτραν τε καὶ τοὺς μαζοὺς προσόδου.

Ἐλεύσομαι δὲ αὖθις εἰς τὸ [76] ἀπολειπὲς 37
τοῦ λόγου. Ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται· καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται· τῷ μὲν ἄρσενι, τρεῖς μῆνες· τῇ δὲ θηλείῃ, τέσσαρες. Ὧδε γὰρ [77] ἐπιτοπλεῖστον συμβαίνει, ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου κινέεται. Κινέεται δὲ πρῶτον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος· καὶ πρῶτον πήγνυται τὸ ἄρσεν· ἀπὸ γὰρ ἰσχυροτέρης, καὶ παχυτέρης γονῆς γίνεται. Ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί· οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ [78] ὀργῶσι, τὸ δὲ γάλα οὐ χωρέει. Καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν ὕστερον τὸ γάλα ἐπισημαίνει, καὶ [79] ἔρχεται· τῇσι δὲ ἀραιοσάρκοισι πρόσθεν. Δι' ἀνάγ- 38
κην δὲ τοιήνδε γίνεται τὸ γάλα. Ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς δ', ὁκόταν

CAPUT VII.

De fœtus motu, lactis generatione, ejusque ad uterum, & ad mammas aditu.

At vero rursum ad id, quod est reliquum orationis, accedam. Quum autem summæ corporis pueri partes ramos foras emiserint, unguesque ac capilli radices egerint, tunc sane etiam moventur; ad idque masculo trium mensium tempus est, fœminæ vero quatuor. Sic enim ut plurimum contingit, etsi etiam quidam pueri ante hoc tempus moventur. Prius autem mas movetur, quod fœmina sit robustior: prius quoque conformatur masculus; nam ex validiore, & crassiore genitura fit. Quum autem fœtus movetur, tunc sane lac de se significationem matri exhibet; mammæ enim attolluntur, & papillæ turgescunt, neque tamen lac prodit. Et mulieribus densam carnem habentibus lac posterius significationem de se præbet, ac prodit; prius vero his, quæ rarum habent corporis habitum. Lac autem propter eam necessitatem gignitur. Quum uterus fœtu tumescens mulieris ventrem comprimit, si eo ple-

Variæ Lectiones.

76 ἐπίλειπες, leg. Exempl. MS. Reg.
77 ὡς ἐπιτοπλεῖστον Imper. Samb. & Fevr.
78 ἀραιαὶ γίνονται, Imp. Samb.
79 ἐξέρχεται, Imperialis Sambucus, & Fevreus. Hic locus de lactis generatione adducitur Libr. I. περὶ γυναικείων, ut idem utriusque Auctor esse videatur, & simile quid adducitur Libro περὶ ἀδένων. Foesius.

no compressio illa contingat, quod in cibo & potu est pinguissimum, foras in omentum, & carnem prosilit. Ac veluti si corium copioso oleo quis perungat, ac eo imbibi sinat, eoque imbibito corium premat, hoc compresso foras oleum exiliet: sic certe, ubi venter pinguedinem a cibis & potibus continet, & ab utero comprimitur, quod pingue est, in omentum, & carnem transilit. Et si raræ carnis mulier fuerit, hanc exsudationem facilius percipit; sin minus, tardius. Quin & pecora, quum uterum gerunt, nisi morbo aliquo laborent, potu, ciboque ob eam causam, pinguiora evadunt; itidemque mulier. Pingui namque incalescente, & candido effecto, quod uteri calore edulcatum est, in mammas expressum tendit, & in uteros quoque exigua portio per easdem venas defertur; ad mammas enim & uteros ejusmodi venulæ, & consimiles aliæ feruntur; quumque ad uterum pervenerit, lactis formam habet, eoque exiguo puer fruitur; mammæ vero lac excipiendo implentur, & attolluntur. Atque ubi mulier pepererit, facto motus initio, lac in ipsas mammas fertur, si (puerum) lactaverit. Sic enim se res habet: dum mammæ exsuguntur, venæ, quæ ad eas tendunt, ampliores redduntur, & ampliores effectæ, quod pingue est, a ventre attrahunt, & in mammas distribuunt. Vir namque si venerem crebro exerceat, ampliores venæ redditæ semen magis inducunt. Quin etiam hæc se res habet ad hunc modum. Alimentum, & incrementum puerorum fit, ubi ea, quæ a matre veniunt, ad uterum processerint, atque ut mater sana, ac debilis est, ita etiam puer valet.

πλήρεος ἐούσης ὁ [80] πιεσμὸς γένηται, ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν [81] βρωτῶν καὶ τῶν ποτῶν ἔξω ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. Ὥσπερ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ, καὶ ἐώη ἀναπιεῖν, καὶ ἐπὴν ἀναπίῃ πιέζῃ τὸ δέρμα, διαπηδοίη ἂν πιεζευμένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον· οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζευμένης ὑπὸ τῶν μη-
39 τρέων, διαπηδᾷ τὸ πίαρ εἰς τὸ ἐπίπλοον καὶ
ἐς τὴν σάρκα. Κἂν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπηδήσιος· ἢν δὲ μὴ, ὕστερον. Καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέει ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου πιότερα γίνεται διὰ τοῦτο· ὁμοίως δὲ καὶ ἡ γυνή. Ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου, καὶ λευκοῦ ἐόντος, τὸ [82] γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων ἀποθλιβόμενον, ἔρχεται εἰς τοὺς μαζούς· καὶ εἰς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται, διὰ τῶν αὐτέων φλεβῶν· τείνουσι γὰρ εἰς τοὺς μαζοὺς καὶ εἰς τὰς μήτρας φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. [83] Καὶ ὁκόταν ἀφίκηται εἰς
τὰς μήτρας, ἰδέην ἴσχει τοῦ γάλακτος,
40 καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀ-
λίγον. Οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, [84] αἴρονται πιμπλάμενοι. Καὶ ὁκόταν τέκῃ, ἀρχῆς κινήσιος ὑπογενομένης, χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. Ἔχει γὰρ οὕτω· [85] θηλαζομένοιν τοῖν μαζοῖν, εὐρυώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς· εὐρυώτερα δὲ γενόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. Καὶ γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα
41 γινόμενα τὰ φλέβια, μᾶλλον ἐπάγει τὴν
λαγνείην. Ἔχει δὲ καὶ τόδε ὧδε. Ἡ τροφὴ καὶ
42 ἡ αὔξησις τῶν παιδίων γίνεται, ὁκόταν ἐν
τῇσι μήτρῃσιν [87] ἔῃ τὰ ἀπὸ τῆς μητρός· καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει.

CAPUT VIII.

De plantæ fœtui comparatæ ortu, nutritione, incremento, radicibus, ramis, foliis, fructibus, seminibus, germinatione, causis externis, aqua, cælo, sole, & anni tempestatibus.

QUemadmodum etiam, quæ e terra gignuntur, e terra nutriuntur, & prout terra habuerit, sic quoque e terra nascentia se

ΚΕΦΑΛΑΙΟΝ Η'.

πνεύματι. Ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ,
καταπαύονται. Τουτέοισι δῆλον, ὅτι τὸ
πνεῦμά ἐστιν τὸ φθεγγόμενον. Εἶδον δὲ ἤδη,
55 οἳ σφάξαντες ἑωϋτοὺς, " ἀπέταμον τὸν
φάρυγγα παντάπασιν. Οὗτοι ζῶσι μὲν,
φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὸν
φάρυγγα, οὗτοι δὲ φθέγγονται. Δῆλον δὲ
56 καὶ τοῦτο, " ὅτι τὸ πνεῦμα οὐ [61] δύναται
διατετμημένου τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ
κοῖλα· ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκ-
πνέει. ' Οὕτως ἔχει περὶ φωνῆς ἴσως, καὶ
διαλέξεως.

CAPUT VIII.

Vitam hominis septem dierum esse; de conceptionis affectibus; de lethali jejunio; ac de fœtu vitali, & non vitali.

HOminis autem vita septem dierum est. Ac primum quidem, ubi genitura ad uteros pervenerit, habet intra septem dies, quæcunque ex corpore ei accedere necesse est. Id vero quomodo noverim, fortasse quis mirabitur; verum multa ad hunc modum vidi. Meretrices publicæ, quæ in se ipsis sæpius id expertæ sunt, ubi cum viro congressæ fuere, noscunt, quando conceperint, moxque conceptum intra se perdunt. Quo postea jam perdito, veluti caro excidit. Eam carnem in aquam conjectam si accuratius inspexeris, in aqua invenies, membra omnia habere deprehendas, & oculorum loca, & aures, & brachia. Quin & manuum digiti, & crura, & pedes, & pedum digiti, & pudendum, & reliquum totum corpus in conspicuo est. Liquido autem constat harum rerum peritis, quod mulier, ubi concepit, statim inhorrescit, & incalescit, ac dentibus stridet, & (coxæ) articulum, reliquumque corpus convulsio prehendit, & uterum torpor, idque iis, quæ puræ sunt, accidit. Quæ vero crassæ & mucosæ istud experiuntur, earum mulierum pleræque hoc

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι αἰών ἐστι τοῦ ἀνθρώπου ἑπταήμερος· περὶ διαθέσεων τῶν ἀπὸ τῆς συλλήψεως· περὶ ἀσιτίας τῆς θανασίμου· καὶ περὶ παιδίου ζωτικοῦ τε καὶ μὴ ζωτικοῦ.

57 ΟΔὲ " αἰών ἐστι τοῦ ἀνθρώπου ἑπταήμερος.
58 Πρῶτον μὲν, ἐπὴν " [62] ἐς τὰς μήτρας
ἔλθῃ ὁ γόνος, ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει ὁκό-
σα περ ἐστὶν ἔχειν τοῦ σώματος. Τοῦτο δέ τις
ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα· πολλὰ δὲ εἶ-
δον τρόπῳ τοιῷδε. Αἱ ἑταῖραι αἱ δημόσιαι,
αἵ τινες αὐτέων πεπείρηνται πολλάκις, ὁκόταν
παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν, ὁκόταν λά-
βωσιν ἐν γαστρὶ, κἄπειτ' ἐνδιαφθείρουσιν.
Ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει ὥσπερ
59 σάρξ. ' " Ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμ-
βαλὼν, σκεπτόμενος ἐν τῷ ὕδατι, εὑρήσεις
ἔχειν πάντα μέλεα, καὶ τῶν ὀφθαλμῶν τὰς
χώρας, καὶ τὰ οὔατα, καὶ τὰ γυῖα. Καὶ
τῶν χειρῶν οἱ δάκτυλοι, καὶ τὰ σκέλεα,
καὶ οἱ πόδες, καὶ οἱ δάκτυλοι τῶν ποδῶν,
καὶ τὸ αἰδοῖον, καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον.
Εὔδηλον δὲ καὶ, ὅταν λάβῃ ἐς γαστέρα τῇσιν
ἐπισταμένῃσιν, αὐτίκα ἔφριξεν, καὶ θέρ-
60 μη, καὶ βρυγμὸς, " καὶ σπασμὸς ἔχει
καὶ τὸ ἄρθρον, καὶ τὸ σῶμα πᾶν,
καὶ τὴν ὑστέρην ὄκνος, ' καὶ [63] ὁκόσαι κα-
θαραί εἰσι, τοῦτο πάσχουσιν. Ὁκόσαι
δὲ πάσχουσιν παχεῖαι καὶ [64] βλεννώ-
δεις, οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν
πολλαί.

VARIÆ LECTIONES.

59 ἀντεχῇ Calvus.
60 ἀντεχῶσι idem legit. Ibidem pro φάρυγγα Lind. legit λάρυγγα, ut & infra.
61 δύναται videntur legisse interpretes, vel ἕλκεσθαι.
62 ἐς τὰς ἡμέρας, *in dies* legunt exempl. Aldina. Cæterum totum istud usque ad finem transtulit Lindenus in alium locum, sub titulo περὶ ΑΙΩΝΟΣ, seu de Ætate. Pag. m. 312. Tom. I. quod jam alii suo tempore fecerunt, ob id, quod de abortu sæpius oborto mentionem hic faciat Hippocrates, cum semel tantum se profiteatur in alio libro observasse: unde concludere licet hunc librum in provectiori ætate conscripsisse Hippocratem.
63 ὁκόσαι καθαραί εἰσι legunt omnia exemplaria, quædam vero ὁκόσαι καθαραί εἰσι, καὶ μὴ ὑγραί legunt, quæ secutus videtur Calvus, & χολώδεις addidisse. Alia ὁκόσαι καθαρά εἰσι, habent, ut & Asulana exemplaria.
64 βλαπώδεις Asulana legunt exemplaria.

πολλαί. Ἠδέ μοι ἔδειξαν, κατὰ τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. Δῆλον δὲ τόδε, ὅτι ἑπταήμερος ὁ αἰών. Ἐι τις ἐθέλει ἑπτὰ ἡμέρας φαγέειν, ἢ πιέειν μηδὲν, οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν· εἰσὶ δέ τινες καὶ οἱ ὑπερβάλλουσιν, ἀποθνήσκουσι δ᾽ ὅμως. Εἰσὶ δέ τινες οἳ καὶ ἐπείσθησαν, ὥστε μὴ ἀποκαρτερῆσαι, 45 ἀλλὰ φαγέειν τε καὶ πιέειν· ἀλλ᾽ ἡ κοιλίη, οὐκέτι καταδέχεται. Ἡ γὰρ νῆστις συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, ἀλλὰ θνήσκουσιν καὶ οὗτοι. Ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. Τὸ παιδίον ἑπτάμηνον γόνον γινόμενον, λόγῳ γεγένηται καὶ ζῇ, καὶ λόγον ἔχει τοιοῦτον καὶ ἀριθμὸν ἀτρεκέα εἰς τὰς ἑβδομάδας. Ὀκτάμηνον δὲ γενόμενον, οὐδὲν βιοῖ πώποτε. Ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος, γίγνεται καὶ ζῇ, καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. Τέσσαρες 61 δεκάδες [65] ἑβδομάδων ἡμέραι εἰσὶν 44 διηκόσιαι ὀγδοήκοντα. Ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. Ἔχει δὲ καὶ τὸ ἑπτάμηνον γενόμενον τρεῖς δεκάδας ἑβδομάδων, ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. Τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι, δέκα καὶ διηκόσιαι.

non sentiunt. Ac sane quantum illæ mihi indicarunt, tantum etiam me scire profiteor. Quod vero hominis vita septem dierum sit, hoc quoque manifestum est. Plerique quidem ex his, qui septem diebus nihil edere aut bibere volunt, in his moriuntur; quod si qui eos superaverint, nihilominus tamen moriuntur. Nonnulli etiam ne per inediam a vita discederent, sed ut comederent & biberent, persuasi sunt, verum venter non amplius admittit. Jejunum enim intestinum in his diebus cohærescit, quin etiam illi moriuntur. Quin & illud ipsum ex his conjicere licet. Puer septimo mense natus, certa ratione in lucem prodiit & vitalis est, quum is rationem & numerum exacte ad hebdomadas respondentem habeat. Octimestris autem natus, nullus unquam vixit. Novem autem mensium & decem dierum fœtus editur, & vitalis est, numerumque ad hebdomadas exacte respondentem habet. Quatuor nempe decades hebdomadum, dies sunt ducenti & octoginta. Hebdomadum autem decuriam dies septuaginta constituunt. At septimo mense editus partus tres hebdomadum decurias obtinet, & ad unamquamque decuriam dies concurrunt septuaginta. Tres itaque hebdomadum decuriæ, in totum dies ducentos decem faciunt.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Τὰς ὀξύτατας νόσους ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀνακρίνεσθαι· ὥσπερ καὶ τὰ ἕλκεα τὰ μεγάλα, καὶ τὰς φλεγμονὰς καθίστασθαι· καὶ τοὺς ὀδόντας ἐν τοῖς ἑπτὰ ἔτεσιν πληροῦσθαι.

CAPUT IX.

Morbos acutissimos septimo die judicari, ut & magna ulcera, & inflammationes sedari; & septimo anno dentes absolvi.

ΚΑὶ αἱ νοῦσοι οὕτω τοῖσιν ἀνθρώποισιν ὀξύταται γίνονται, ἡμερέων [66] παρελ- 62 θουσέων ἐν τῇσιν ἀνακρίνονται, καὶ ἀπέθανον, ἢ ὑγιέες ἐγένοντο. Καὶ τριταῖοι ἐν ἕνδεκα ἡμέρῃσιν ἢ μιᾷ ἑβδομάδι καὶ ἡμισυ ἑβδομάδος. Καὶ τεταρταῖοι [67] ἐν 63 δυσὶν ἑβδομάσιν. Καὶ οἱ πεμπταῖοι, ἐν 64 δυοῖν [68] δεούσῃσιν εἴκοσιν ἡμέρῃσιν, δυοῖν τε ἑβδομάδοιν καὶ ἥμισυ ἑβδομάδος. Αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διὰ γνώμην ἐν ὁκόσῳ ὑγιέες ἔσονται ἀποφαίνεσθαι. Οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα, τὰ ἐν τῇ κεφαλῇ, καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται, ἐν ἑπτὰ δὲ καθίσανται φλεγμήναντα, καὶ ἐν τεσσαρεσκαίδεκα, καὶ ἐν εἴκοσι [69] δυοῖν δεούσῃσιν. 65-66 Ἢν δέ τις ἀνακῶς θεραπεύει, καὶ μὴ κατα-

SIc & morbi acutissimi hominibus contingunt, voluentibus diebus, quibus judicantur, & moriuntur, aut convalescunt. Et tertianæ diebus undecim, una & dimidia hebdomade. Quartanæ duabus hebdomadibus. Quintanæ duodeviginti diebus, hoc est, duabus hebdomadibus & dimidia. In cæteris vero morbis, quoto tempore homines sani evadent, certa sententia pronunciari non potest. Ad eundem autem modum, ulcera quoque magna in capite & reliquo corpore, quarto die inflammatione tentari incipiunt, septimo vero inflammatio sedatur, aut decimo quarto, aut duodevigesimo. Quod si quis diligentem curam adhibeat, neque ulce-

VARIÆ LECTIONES.

65 ἑβδομήκοντα legunt Asulana & Vaticana exemp. quæ secutus videtur Calvus. ὀγδοήκοντα Imp. Samb. quam lectionem sequimur, cum novem mensium & decem dierum partum hic faciat, & quatuor septimanarum decuriæ dies constituant ducentos & octoginta observante Foes.

66 ἡμερέων παρελθουσέων τῆς ἥμισυ ἑβδομάδος καὶ μιῆς, id est: *præteritis diebus hebdomadis dimidiæ, aut unius* legit Cornar. contra omnium codd. auctoritatem.

67 ἕνδεκα ἑβδομάσιν legisse videtur Calvus.

68 δεούσῃσιν legit Imp. Sam. quod sequimur, editi codd. δεούσαις.

69 καὶ ἐν εἴκοσι δυοῖν δεούσῃσιν, legunt exemp. quædam MS. quam lectionem secuti sumus, καὶ ἐν εἴκοσι non habent editi codd.

ulcera capitis magna hoc tempore sedentur, homines moriuntur. Ac forte quis harum rerum imperitus, mirabitur fœtum septimo mense nasci; atque id quidem certe, & sæpius vidi. Quod si quis volet, id facile deprehendet, obstetrices, quæ parturientibus præsunt adeundo & percontando. Est vero & aliud argumentum. Pueri sæpius septimo anno exacto dentes explent. Et septem annos pleno & justo numero exacte quinquaginta & trecentæ hebdomades conficiunt. Quod autem horum singula septenariis a natura regantur, alias declarabo.

ςῇ ἐν τουτέῳ τῷ χρόνῳ τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι. Θαυμάσειε δ' ἄν τις καὶ τοῦτο ὅς τις ἄπειρος ᾖ, εἰ ἑπτάμηνον γίνεται παιδίον· ἐγὼ μὲν οὖν αὐτὸ ὄπωπα καὶ συχνά. Εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον πρὸς τὰς ἀκεςρίδας, αἳ πάρεισι τῇσι [70] τικτούσῃσιν ἐλθὼν πυθέσθω. Ἔςι δὲ καὶ ἄλλο τεκμήριον. Τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι, καὶ ἐν ἑπτὰ ἔτεσιν. Ἔςι δὲ λόγῳ καὶ ἀριθμῷ
67 ἀτρεκέως [71] δεκάδες ἑβδομάδων πέντε καὶ τριήκοντα. Τῆς δὲ φύσιος τὴν ἀνάγκην, διότι ἐν ἑπτὰ τουτέων ἕκαςα διοικεῖται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

Variæ Lectiones.

70 Sic legendum esse arbitramur pro τικτοῦσι, τίκτησι habet Imp. Sambuc.

71 ἑβδομάδες ἑξήκοντα legunt omnes interpretes. Foesius ἑβδομάδες πεντήκοντα καὶ τριηκόσιαι legendum censet. Nos vero sequimur Allemantium. Plura qui cupit videre, adeat Prosperi Martiani commentar. p. m. 52.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE SEPTIMESTRI PARTU LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐκ πόσων τὸν ἀριθμὸν ἡμερῶν γίνονται οἱ ἑπτάμηνοι, καὶ διατὶ ζωτικοί; τοῦ ἑπταίου ἀριθμοῦ ἔν τοῖς μησίν τε καὶ ταῖς ἡμέραις δύναμις καὶ ἐξοχή· περὶ ὀκταμήνου τε καὶ ἐννεαμήνου, καὶ δεκαμήνου τόκου ἔνια· καὶ περὶ τοῦ τοῦ ἄρσενός τε καὶ τοῦ θήλεος τελειώσεως χρόνου.

ARGUMENTUM LIBRI.

Septimestris partus quot dierum numero perficiatur, & cur vitalis? septenarii numeri in mensibus ac diebus vis ac præstantia; de octimestri partu, nonimestri ac decimestri partu nonnulla; ac de masculi & fœminei fœtus perfectionis tempore.

Basil. Græc. 183. pag. 44. Foesius Sect. III. 15. 255. Basil. Lat. II. 32. pag. 61.

CAPUT I.

De partus septimestris diebus ac mensibus; cur vitales septimestres & multi pereant?



SEPTIMESTRES nascuntur 1
diebus centum & octoginta 2
duobus (ac dimidio) & insuper addita quadam diei particula. Si enim primi

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν ἑπταμήνων ἐμβρύων ἡμερῶν τε καὶ μηνῶν· διατὶ περιγινόμενοι οἱ ἑπτάμηνοι καὶ πολλοὶ ἀπόλλυνται;



Οἱ δὲ ἑπτάμηνοι γίνονται ἐκ τῶν ἑκατὸν ἡμερέων καὶ ὀγδοήκοντα, καὶ δύο (καὶ ἡμίσιος) [1] καὶ προσόντος μορίου. Ἦν γὰρ τοῦ πρώτου λογι-

Variæ Lectiones.

Hic Liber Hippocratis fœtus est, & ab omni antiquitate in Asclepiadarum familiam receptus, inter Physiologica numerandus. Quid autem doceat liber, tum ejus inscriptio & argumentum, tum capita paucis explicant. Mercurialis hunc librum in II. classem reponit Galeni auctoritate ductus, qui non modo complura dogmata & sententias ex eo accepit, verum etiam commentaria in illum scribere deliberavit, quare Polybium hujus libri auctorem credit Mercur.

1 καὶ desideratur in Cod. Servini. Sequentia τῶν δὲ πέντε μηνῶν. ρμ', καὶ ζ', καὶ ἑπτὰ καὶ ἥμισυ ἡμέρας non leguntur in codice Med. Laur.

λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας, τῶν δὲ πέντε μηνῶν ἑκατὸν, καὶ τεσσαράκοντα καὶ ἑπτὰ, καὶ ἥμισυ ἡμέρας, (ἐν γὰρ ἑξήκοντα, μιῆς δεούσης [2] ἡμέρης ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται) οὕτως οὖν τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλεῖον ἢ εἴκοσιν, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης τοῦ μέρους, τῷ μέρει [3] ποσῷ γινομένῳ. Ὁκόταν ἐς τὴν ἀρχὴν τῆς τελειώσεως ἔλθῃ ταύτην ἀδρυναμένου τοῦ ἐμβρύου, καὶ τὴν ἰσχὺν πουλὺ ἐπιδιδόντος ἐν τῇ τελειώσει μᾶλλον, ἢ ἐν τοῖς ἄλλοις χρόνοις, οἱ ὑμένες ἐν οἷς τὴν ἀρχὴν ἐτράφη, ὥσπερ καὶ τῶν ἀσταχύων, ὁπότ' ἐξεχάλασαν πρόσθεν ἀναγκαζόμενοι, ἢ τελείως ἐξαδρυνθῆναι τὸν καρπὸν, τὰ μὲν ἰσχυρότατα καὶ ἀδρότατα τῶν ἐμβρύων βιησάμενα, καὶ διαῤῥήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γενέσθαι, καὶ τὰ μὲν πλεῖστα τουτέων ἀπώλλοντο. Μικρὰ γὰρ ὄντα, τῇ μεταβολῇ μείζονι χρέονται τῶν ἄλλων, καὶ τὴν τεσσαρακονθήμερον κακοπαθείην ἀναγκάζονται κακοπαθεῖν, ἐξελθόντα ἐκ τῆς μήτρης, καὶ τῶν δεκαμήνων πολλὰ ἀποκτείνει. Ἔστι δὲ, ἃ τούτων τῶν ἑπταμήνων καὶ περιγίνονται, ἐκ πολλῶν ὀλίγα, ὅτι ὁ λόγος καὶ ὁ χρόνος, ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ, κατέστησεν, ὥστε μετέχειν πάντων, ὧν περ καὶ τὰ τελεώτατα μετέχει, καὶ μάλιστα περιγινόμενα· καὶ [4] ἐξήλλαξε τῆς 3
μητρὸς πρόσθεν κυούσης, ἅτε ἐν τῷ ὀγδόῳ μηνὶ νενοσευμένα. Τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγίγνωνται, ὥστ' εἰς τοὐμφανὲς ἐλθεῖν τὸ παιδίον, ἀδύνατον περιγενέσθαι, διὰ τὰς πάθας τὰς προειρημένας, ἃς ἐγώ φημι τοὺς ὀκταμήνους ἀποκτείνειν. Πολλοὺς δὲ καὶ τῶν δεκαμήνων τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ [5] τῶν ἑπταμήνων, ὅταν οἱ ὑμένες χαλῶσι, μετεχώρησαν ἐς τὸ ὑπεῖξαν, καὶ ἐνταῦτα τὴν τροφὴν ποιέεται. Τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονεῦντα, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧσσον, διὰ δὲ τὴν μεταβολὴν, ἣν ἐκ τῶν χωρίων τῶν θρεψάντων, μετεβάλλετο, καὶ [6] ἀμφὶ τοῦ ὀμ- 4
φαλοῦ ἔσπασε, καὶ μετεχώρησε, καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. Οἱ γὰρ ὑμένες τεινόμενοι, καὶ ὁ ὀμφαλὸς σπασθεὶς, ὀδύνας ποιέει τῇ μητρὶ, καὶ τὸ ἔμβρυον ἐκ τοῦ παλαιοῦ συνδέσμου ἐκλυθὲν βαρύτερον γίνε-

mensis dies quindecim supputaveris, quinque vero mensium dies centum quadraginta septem & dimidium (sexaginta namque diebus, uno dempto, fere duo menses constant) his sic se habentibus, ad septimum mensem supersunt dies plus quam viginti, quod est anni dimidium, una cum aliquantula parte ad diei partem accedente. Quum fœtus ad hoc perfectionis principium devenerit, & robur increverit, ipso jam perfecte aucto magis quam cæteris temporibus, membranæ in quibus jam inde ab initio nutritus est, elaxantur, uti spicarum membranæ, ad id vi impulsæ, antequam fructus perfecte maturuerit, & fœtus quidem robustissimi & plenissimi, vi illata membranas dilacerant, partumque accelerant, & ex his plerique perierunt. Nam quum parvi sint, majorem quam cæteri patiuntur mutationem, & ex utero egressi per quadraginta dies ex necessitate male afficiuntur, quod etiam multos decimo mense natos interemit. Ex his autem, septimo mense natis, supersunt quidam, ex multis pauci, propterea quod ratio & tempus, quo enutriti sunt in utero, effecit, ut ea omnia consequantur, quorum etiam perfectissimi, & qui maxime superstites evadunt, compo-
3 tes fiunt; tum etiam quod permutationem senserunt, prius a matre in lucem emissi, quam octavo mense ægrotarent. Etenim si hos labores superant, ita ut in lucem puer prodeat, is tamen superesse nequit ob commemoratas affectiones, quas octavo mense, multos quoque decimo natos, interimere affirmo. Multi autem fœtus ejus ætatis, quæ est septem mensium, quum laxatis membranis in id, quod cedit, secedunt, ibique alimentum capiunt, primis quidem quadraginta diebus, hi quidem magis, alii minus laborant. Ac propter migrationem ex locis in quibus alebantur, alterationem sentiunt, & quia umbilicum vulsere migrando, tum etiam propter matris labores. Membranæ namque dum tenduntur, & umbilicus vellicatur, dolores matri pariunt, fœtusque pristino vinculo exolutus gravior evadit. Pleræque etiam mulieres ex

 hoc

VARIÆ LECTIONES.

2 ἡμέρησιν pro ἡμέρης leg. Servin. cod. Ibidem οὕτως οὖν τούτων ἐόντων non habet Linden. qui locum sic profert: ἐς τὸν ἕβδομον μῆνα, καὶ πλεῖον, ἢ εἴκοσι, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης τοῦ μέρους τῷ μέρει ποσῷ γινομένῳ, περιγίνονται ἡμέραι.

3 ποσῷ pro ποσῷ legit cod. Med. Laur.

4 Sic publicata legunt exemplaria. In Vatic. autem cod. legitur καὶ ἐξήλλαξε τῆς μητρὸς πρόσθεν νοσησάσης τὰ ἐν τῷ ὀγδόῳ μηνὶ νενοσευμένα, quæ lectio aliquantum clarior videtur. Mercurial. Hic notat Foesius in quibusdam manu exaratis codicibus legi μήτρας pro μήτρος: quæ lectio etsi magis est explanata, tamen præter Hipp. mentem esse videtur.

5 Sic restituimus ex Servino. Editi codices habent τῇ ἑπταμήνῳ.

6 Sic legimus cum Zwingero, ut sit hæc notio, fœtus alterationem sentiunt, ob loci, in quo nutriebantur, permutationem, tum quia alio migrantes, circa umbilicum vellicantur, cum etiam propter matris labores. ἀντὶ pro editi codices habent. Ibidem pro μετεβάλλετο, Mercurial. notat in cod. Vatic. legi μεταβολαὶ τικτούσι τοῦτο *mutationes parientibus.*

hoc casu insuper febre corripiuntur, quædam quoque una cum fætu pereunt: verum omnes hac febre paucis diebus tentantur.

CAPUT II.

De difficili tum fœtus octimestris gestatione, tum partus dignotione, & prænotione; fidem de partu mulieribus adhibendam esse, & abortus fieri quadraginta primis diebus plurimos.

AT vero se uteros difficillime gestare octavo mense recte dicunt. Est autem octavus mensis, non solum tempus hoc; verum etiam si dies a septimo mense, & a nono, & ab ipso anno accedunt. Verum dies eodem modo, neque dicunt, neque cognoscunt mulieres. Ex eo enim decipiuntur, quod neque eodem modo se habent, verum etiam quod quandoque plures dies a septimo ad quadraginta accedunt, quandoque vero a nono. Sic enim pro ratione mensis ac temporis, in quo mulier conceperit, contingere necesse est. At mensis octavus minime ambiguus est. Per hunc enim contingit, ut judicatio facilis sit. Mea sententia pars etiam in undecim mensibus, mensis est, licet non admodum memoratu dignus; mulieribus autem de partubus fides habenda est. Nam & omnia narrant, semperque dicunt, & sem-

ται. Πολλαὶ δὲ τῶν γυναικῶν, καὶ ἐπι-
πυρεταίνουσι τούτων γινομένων, αἱ δὲ καὶ
5. ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις: " 7 χρῶν- 45
ται δὲ πᾶσαι ἐν ὀλίγῳ πυρὶ τουτέῳ.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τοῦ χαλεπώτατα φέρειν τοὺς ὀγδόους τῶν μηνῶν, καὶ τῆς διαγνώσεώς τε καὶ προγνώσεως τοῦ τόκου· χρῆναι οὐκ ἀπιστεῖν ταῖς γυναιξὶ τῶν τόκων, καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι.

ΦΑσὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν, καὶ χα-
λεπώτατα φέρειν τὰς γαστέρας, ὀρθῶς
λέγουσαι. Ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον χρό-
6 νος οὗτος, " 8 ἀλλ᾽ εἰ καὶ 9 ἡμέραι πρό-
σεισι ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐννά-
του, 10 καὶ ἀπὸ τοῦ ἐνιαυτοῦ. Ἀλλὰ τὰς ἡμέ-
ρας οὐχ ὁμοίως, οὔτε λέγουσιν, οὔτε γι-
νώσκουσιν αἱ γυναῖκες. Πλανῶνται γὰρ διὰ
τὸ μήτε 11 κατὰ ταὐτὸ γίνεσθαι, ἀλλ᾽
ὅτε μὲν ἀπὸ τοῦ ἑβδόμου μηνὸς πλέονας 45
ἡμέρας προσγενέσθαι ἐς τὰς τεσσαράκον-
7-8 τα, " 12 ὅτε δὲ ἀπὸ τοῦ ἐννάτου. " 13
Ὧδε γὰρ ἀνάγκη γίνεσθαι, ὅκως ἂν τύ-
χῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα, τοῦ μηνός
τε καὶ τοῦ χρόνου. Ὁ δὲ μὴν ὁ ὄγδοος
9 " 14 ἀναμφισβήτητός ἐστι. Κατὰ τοῦτον
10 γὰρ γίνεται, " ὥστε 15 εὐκρίτως ἔχειν.
11 " 16 Κατ᾽ ἐμὲ, καὶ τὸ μέρος 17 ἐν τοῖς
ἕνδεκα μησὶ, μής ἐστιν, ὥστε τοῦτον οὐ 18
12 μνημόνευτον εἶναι· " χρὴ δὲ οὐκ 19 ἀπιστεῖν
13 ταῖς γυναιξὶ περὶ τῶν τόκων. " Λέγουσι γὰρ 5
20 πάντα, καὶ αἰεὶ λέγουσι, καὶ αἰεὶ ἐρέουσιν. Οὐ
γὰρ

VARIÆ LECTIONES.

7. Sic legibus ex Vaticanis membranis, & cum Calvo, quod sententiam clariorem habet, quam in vulgatis codicibus, quæ sic habent: χρῶνται δὲ πᾶσαι ἐν ὀλίγῳ περὶ τούτου, quos Cornarius, dum sequi vellet, sententiam ab omnibus diversam sibi commentus est. Mulieres enim, quæ in septimo mense, præter dolores etiam febre tentantur, haud multum temporis sic perdurant, quo vel liberantur, vel statim intereunt. Notandum venit hic Corn. pro χρῶνται, αἰσχυνόνται *fœdantur, contaminantur, inquinantur*, aut aliud quid tale legisse.

8 Sic ex Sambuco & cod. Med. Laur. restituimus; codices editi ἀλλὰ καὶ habent.

9 ἡμέραι πρόσεισι cum interpretibus omnibus legimus. προσίησι Lindenus habet ex Servino. ἡμέρας πρόσεισι editi codd. habent.

10 καὶ τοῦ ἐνιαυτοῦ legit Servin. omisso ἀπὸ, *ab*, quam lectio- sequitur Lind. verum nos vulgatam lectionem retinuimus.

11 κατ᾽ αὐτὸ γινώσκεται *ex hoc ipso cognoscitur* leg. Servin.

12 ὅτε δὲ ἀπὸ τοῦ ἐνιαυτοῦ *interdum ab anno*, his addidisse videtur Calvus.

13 ὧδε pro τότε habent Vaticana exemplaria, quæ secuti sumus cum Zwingero. Sed γινώσκειν pro γίνεσθαι videtur legisse Calvus.

14 ἀμφισβήτητός ἐστι legit Calvus. ἀναμφισβητήτιμος Vatic. exemplar. habent.

15 ὥστε εὐκρίτως ἔχειν habent Vatic. Exempl. quæ secuti sumus pro δυσκρίτως.

16 ἐν δὲ pro κατ᾽ ἐμὲ notat. Merc. ex cod. Vaticano legi.

17 ἐν τοῖς δέκα μησὶ pro ἕνδεκα Calvus recte hic legisse videtur, & decem mensium partum intellexisse. Qui vero δώδεκα legunt, quemadmodum fecit Lindenus, partem duodecim mensium, i. e. anni, mensem solarem constituere volunt, itaque mensem octavum solarem efficiunt, qui lunarem die uno cum triginta minutis superat, quod tamen tam exigui est momenti, ut commemorari haud debeat. Plura vid. in Zwing. comment. p. 191.

18 εὐμνημόνευτον legit cod. Med. Laur. alii codices εὐμένεια, quam lectionem notat Mercur. ex Vat. cod.

19 Hic Calvus negationem non adscribit, aut πιστεῖν pro ἀπιστεῖν legisse videtur.

20 πάντα ἅπερ εἰδέουσι, *& omnia quæ sciunt*, legunt Vaticana exemplaria, quæ secutus est Calvus. Lindenus autem hunc locum ita profert: λέγουσι γὰρ ταῦτα, καὶ αἰεὶ λέγουσι, ἅπερ εἰδέουσι. Id est: *dicunt enim hæc, & semper dicunt, si quando opus habent.* Ita sonant verba Græci contextus, quæ multo diversa ab illis sunt, quæ in translatione Lindeniana reperiuntur his verbis: *dicunt enim omnia, & semper dicunt, & semper proferunt.* Hæc obiter demonstrare voluimus ob discrepantiam Græci contextus, & Latini in Lindeno inveniendam.

γὰρ ἂν πειθείησαν οὔτ᾽ ἔργῳ, οὔτε λόγῳ, " [21] ἀλλ᾽ ὅ, τι γνῶναι ἐν τοῖσι σώμασιν αὐτέων γινόμενον. " [22] Τὰς δὲ βουλομένας ἄλλο λέγειν, ἔξεστιν, αἱ δὲ κρίνουσαι, καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτέου τοῦ λόγου, αἰεὶ ἐρέουσι, καὶ φήσουσι τίκτειν καὶ ἑπτάμηνα, καὶ ὀκτάμηνα, καὶ ἐννεάμηνα, καὶ δεκάμηνα, καὶ " [23] ἑνδεκάμηνα, καὶ τουτέων τὰ ὀκτάμηνα οὐ " περιγένεσθαι. [24] Φήσουσι δὲ καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι, καὶ τ᾽ ἄλλα τὰ καταγεγραμμένα ἐν τῇσι τεσσαρακοντάσι, καὶ ἐν τοῖσιν μησὶν ἑκάστοισιν. Ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιῤῥαγέωσιν οἱ ὑμένες, καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον " [25] γενεαλογούμενοι, καὶ περὶ τὴν ἕκτην τεσσαρακοντάδα. Τούτου δὲ τοῦ χρόνου παρελθόντος, ὁπόσαις μέλλει εὖ εἶναι, αἱ φλεγμοναὶ ἐλύθησαν, καὶ τοῦ ἐμβρύου, καὶ τῆς μητρὸς, " ὥστε γαστὴρ μαλαχθῇ, " καὶ ὁ ὄγκως [26] ὑποκαταβῇ ἀπὸ τῶν ὑποχονδρίων, καὶ τῶν κενεώνων εἰς τὰ κάτω χωρία, " [27] ἐς εὐτρεπίην, τὴν ἐπὶ τοὺς τόκους τροπήν. " Καὶ τὴν ἑβδόμην τεσσαρακοντάδα, ἐντευθέν ἐστι τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. Τὰ γὰρ χωρία αὐτοῖς μαλθακὰ, καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι, καὶ διὰ ταῦτα κατέστη πρὸς τὸν τόκον εὐλυτώτερα. Καὶ πάσης τῆς τεσσαρακοντάδος, " ταύτας αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, " ἔστ᾽ [28] ἂν ὁρμήσῃ τὸ ἔμβρυον στρέφεσθαι. Μετὰ δὲ ταῦτα, " αἵ τε ὠδῖνές εἰσι, καὶ οἱ πόνοι ἐπίκεινται, ἔστ᾽ ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου.

14 per proferunt. Neque enim aut ope-
re aut sermone se persuaderi sinunt,
15 sed ex eo, quod in suis corporibus
contigisse norunt. Etsi vero volenti-
bus aliud dicere licet, quæ tamen decer-
nendi, aut de hac sententia pronuntiandi
victoriæ potestatem habent, semper pro-
16 ferent & affirmabunt septimo mense,
17 & octavo, & nono, & decimo, & unde-
cimo, partus in lucem prodire, & ex
his octavo mense natos minime super-
esse. Quin & abortus plurimos primis
quadraginta diebus contingere assevera-
bunt, & cætera quæ in quadragenariis
ac singulis mensibus evenire conscripta
sunt. Quum vero septimo mense pelli-
18 culæ disrumpantur, & fœtus cesserit, la-
bores, qui circa octavum mensem, & cir-
ca sextum quadragenarium fieri tradun-
tur, corripiunt. Hoc autem tempore ela-
19 pso, quibus partus feliciter successurus
20 est, inflammationes tum fœtus, tum ma-
tris dissolvuntur, adeo ut venter emol-
21 liatur, tumorque ab hypocondriis & la-
22 terum inanitate in loca inferiora descen-
dat, ad aptam conversionem, quæ fa-
cilem partus progressionem faciat. Et
septimo quadragenario plurimo tempore
fœtus illic permanent. Nam & loci ipsis
molles sunt, & transmotiones ipsis facilio-
23 res & frequentiores contingunt, ideoque
ad partum expeditiores redduntur. Et
ex toto quadragenario, per ultimos hos
24 dies mulieres facilius uteros ferunt, quoad
25 fœtum converti contigerit. Postea ve-
ro partus dolores & labores incumbunt,
donec puero & secundis mulier liberetur.

CA-

VARIÆ LECTIONES.

21 ἄλλ᾽ ὅτι γνῶναι quædam exemplaria legunt, referente Foesio, quam lectionem notat Mercurialis.

22 τῇσι δὲ βουλομένῃσιν legunt quædam exemplaria, quam lect. notat. Merc. ex Vatic. codice.

23 Hic quædam exemplaria ἑνδεκάμηνα omittunt, quædam etiam δεκάμηνα; verum utramque lectionem adhibuerunt Calvus & Cornar. & Lindenus, quos secuti sumus.

24 Τὰ δὲ ἄλλα περιγίνεσθαι φήσουσι, id est: *Alios autem superstites manere dicunt*, addunt Vaticana exemplaria, quæ secutus est Calvus, quod notat Merc. in margine.

25 Hic notandum venit præsentem textum per se satis manifestum, difficilem reddidisse Cornarium addendo verba *in partu*, quæ in vulgatis textibus non reperiuntur, & si adessent, superflua forent, longe enim diversi sunt labores octavi mensis, a laboribus in partu contingentibus. His igitur demonstrare intendit Hipp. quomodo fœtus in utero ægrotet ob membranarum relaxationes, & quomodo post ægrotationem 40. dierum ad felicem exitum roboretur. Martianus p. 58. ἐγγενεαλογημένοι ibidem legi ex cod. Vaticano notat Mercurial. pro γενεαλογούμενοι, ad octavum mensem referens.

26 ὑποκαταλλάβῃ Imp. Cornar. & Sambuc. ὑποκαταλείβῃ Vatic. exemplaria referente Mercuriale. ὑποκατίβῃ alia exempl. MSSta, quæ ἔτι γαστὴρ legunt, & ἐμαλάχθῃ pro μαλαχθῇ.

27 ἐς εὐστροφίην καὶ τὴν ἐπὶ τοῦ τοκοῦ τροπὴν *ad facilem partus tempore conversionem* legit Lindenus suopte ingenio, unde nam istud desumpserit, ignoratur. Ibidem τὴν ἀπὸ τοῦ στομάχου στρέφειν quædam MSS. legunt pro τὴν ἐπὶ τοὺς τόκους τροπήν.

28 ὁρμήσῃ pro ἁρμόσῃ ex Imp. Samb. legimus. Ibidem pro εἰσὶ exemplaria quædam legunt ἔτι τε καὶ οἱ πόνοι &c.

CAPUT III.

Octavum mensem, fœtum cæcum ac mutilum gerentibus difficiliorem esse; ejusmodi fœtum, non autem alios superesse. Qui fœtus nono mense ac decimo vivant? unde corporis magnitudo?

QUæ vero mulieres multos pueros pepererunt, in quibus aliquis claudus, aut cœcus, aut alio quopiam malo affectus fuit, eæ affirmabunt se in his gestandis pueris octavum mensem molestius tulisse, quam in his, quos nullo modo male affectos pepererunt. Mutilus enim foetus octavo mense vehementer ægrotavit, adeo ut etiam morbus abscessum fecerit, quemadmodum & viris morbi gravissimi facere consueverunt. At foetus, qui alio tempore vehementer ægrotarint, ii prius intereunt, quam ipsis ejusmodi abscessus fiat. Octimestres autem foetus, qui non valde ægrotant, sed una quapiam parte propter migrationem male affecti sunt, eorum plerique per quadraginta quidem dies, ob commemoratas causas necessarias, in utero male se habent, verum sani evadunt. Qui vero intra hos quadraginta dies natus fuerit, is superesse nequit, cum huic adhuc in utero ægrotanti, post partum mutationes, & afflictiones præterea accedant. At qui in utero ægrotans ad nonum mensem pervenerit, eoque editus fuerit, is quidem superesse poterit, non minus quam septimestres, quanquam etiam ex his pauci educantur. Neque enim eam habent corpulentiam, quam perfectissimi nacti sunt, & laboribus quos in utero non ita pridem pertulerunt, conflictantur, ita ut tenues reddantur. Is vero potissimum foetus servatur, qui nono mense exeunte in lucem editur. Validior autem evadit, plurimumque abest a morbis, qui octimestribus contingere consueverunt. Qui enim septimo quadragenario in lucem eduntur, decimestres appellati, hanc ob causam præcipue educantur, quod validissimi sunt, plurimumque absunt ab commemoratorum puerorum tempore, in quo circa octavum mensem diebus quadraginta

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὸν ὄγδοον μῆνα ἐπὶ τοῦ τυφλοῦ ἢ χωλοῦ χαλεπώτερον διαγαγεῖν· καὶ τὰ τοιαῦτα ἔμβρυα, ἄλλα δὲ μὴ περιγίνεσθαι. Ὁποῖα τὰ ἔμβρυα τοῦ ἐννάτου τε καὶ δεκάτου μηνὸς ζῆ; πόθεν τὸ μέγεθος τοῦ σώματος;

ΟΣαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, καὶ τι αὐτέων ἐγένετο χω-
26 λὸν, ἢ τυφλὸν, ἢ ἄλλό τι κακὸν ἔχον, " φήσουσιν [29] ἐπὶ τῶν τουτέων παιδίων τὸν ὄγδοον μῆνα, χαλεπώτερον διαγαγεῖν, ἢ ἐφ' ὧν ἔτεκον, οὐδὲν κακὸν ἐχόντων. Τὸ γὰρ ἔμβρυον τὸ πηρωθὲν ἐν τῷ ὀγδόῳ μηνὶ
27-28 " ἰσχυρῶς [30] ἐνόσησεν, ' ὥς τε " καὶ ἀπόστασιν ἐποίησεν ἡ νοῦσος, ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νοῦσοι ἐποίησαν. Ὅσα δ' ἂν τῶν
29 ἐμβρύων " [31] ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ἀπόλλυται πρόσθεν, ἢ [32] αὐτέῳ ἀπόστασιν γενέσθαι. Ὅσα δ' ἂ τῶν ὀκταμήνων ἐμβρύων
30 μὴ σφόδρα νοσήσῃ, " ἀλλὰ καθ' ἕν τι ἐκ τῆς μεθόδου κακοπαθήσῃ, τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ, τὰ δὲ πλεῖστα ἐν τῇ μήτρῃ, διὰ τὰς ἀνάγκας τὰς προειρημένας· ἐγένοντο δὲ ὑγιαίνοντα. Ὅ, τι δ' ἂν γένηται ' ἐν τεσσαράκονθ' ἡμέραις ταύταις, ἀδύνατον περιγενέσθαι. Νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ, ἐπιγίνονται αἱ μεταβολαὶ, καὶ αἱ κακοπάθειαι μετὰ τὸν τόκον. Ὅτι δ' ἂν ἀπονοσῆσαν ἐν τῇ μήτρῃ ἐς τὸν ἔννατον μῆνα ἔλθῃ; καὶ ἐν τουτέῳ τῷ μηνὶ γένη-
31 ται, [33] " περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα, ὀλίγα δὲ καὶ τουτέων [34] ἐκτρέφεται. Οὔτε γὰρ τὴν παχύτητα
32 ἴσχει ἥν περ τὰ τελεώτατα ἔχουσιν, " [35] οἴτε πόνοι οἱ ἐν τῇ μήτρῃ οὐ πάλαι πεπονημένοι ' εἰσὶν αὐτέοις, ὥστε λεπτὸν γενέσθαι. Σωθείη δ' ἂν μάλιστα, εἰ τοῦ ἐννάτου μηνὸς γένοιτο ἐν ἐξόδῳ. Ἰσχυρότερον δ' ἂν γένοιτο, καὶ πλεῖστον ἀπέχον τῶν νούσων, τῶν τοῖς ὀκταμήνοις γενομένων. Καὶ γὰρ τὰ ἐν ἑπτὰ τεσσαρακοντάσι τικτόμενα, τὰ δεκάμηνα καλεόμενα, διὰ ταῦτα μάλιστα ἐκτρέφεται, ὅτι ἰσχυρό-
33 τατά ἐστι, " καὶ πλεῖστον ἀπέχει τῶν γνωρίμων παιδίων τοῦ χρόνου, ἐν ᾧ ἐκακοπάθησε τὰς τεσσαράκοντα ἡμέρας τὰς νοσευμένας, περὶ τὸν

VARIÆ LECTIONES.

29 φήσουσιν ἐπὶ τουτέου τοῦ παιδίου videtur legisse Cornar. cum ajunt in hoc puero octavum mensem dixerit. τοῦ παιδίου legit ex codd. Servin. Quædam exemplaria habent etiam ἐπὶ τουτέων τῶν παιδίων. Lind. ἐπὶ τουτέων τὸ παιδίον.

30 ἐνόσεεν legunt quædam MSSta exemplaria.

31 ἐν ὀλίγῳ χρόνῳ pro ἐν ἄλλῳ χρόνῳ legunt etiam quædam exemplar. Manuscripta.

32 αὐτέοις legit Serv.

33 περιγίνεται post γένηται adscriptum erat, quod quum supervacanęum videbatur, delevimus.

34 ἐκφέρεται *effertur* pro ἐκτρέφεται legit Servin. cod.

35 οἴτε legimus cum interpretibus. prius erat οὔτε vitiose tamen.

τὸν μῆνα τὸν ὄγδοον. Σαφηνίζει δὲ περὶ τῶν νοσημάτων καὶ παθημάτων τῶν τοῖς ὀκταμήνοις γινομένων καὶ τὰ ἐννεάμηνα λεπτὰ τικτόμενα. " Κατὰ τὸ πλῆθος τοῦ χρόνου ἐγεγόνει καὶ τὸ μέγεθος τοῦ σώματος, 36 ἐκ νόσων κακοπαθείης ἀφιγμένα οὐχ ὥσπερ τὰ ἑπτάμηνα τίκτεται σεσαρκωμένα, καὶ τὸ πάχος ἔχοντα εὐτραφέως, ἄνοσα διατετελεκότα, ὃν χρόνον ἐν τῇ μήτρῃ διεφέρετο.

ægrotantes, male habent. Quin & nonimestres tenues editi in lucem, eorum qui octavo mense nati sunt, morbos & affectiones declarant.
34 Quamvis enim pro temporis longitudine corporis magnitudo existit,
35 prodeuntes tamen ex morbosa affectione, neque eduntur cornosi, neque vegetam habent corpulentiam, velut septimestres, qui gestationis tempus in utero sine morbis peregerunt.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν κριτικῶν τε καὶ κρισίμων ἡμερῶν καὶ μηνῶν τῆς συλλήψεώς τε, καὶ τοῦ τρωσμοῦ, καὶ τοῦ τόκου.

Ταῖς δὲ γυναιξὶν αἱ συλλήψιες τῶν ἐμ-
45 βρύων, καὶ οἱ τρωσμοί τε, καὶ οἱ τόκοι ἐν τουτέῳ τῷ χρόνῳ κρίνονται, ἐν ᾧπερ αἵτε νοῦσοι, καὶ αἱ ὑγίειαι, καὶ οἱ θάνατοι τοῖς σύμπασιν ἀνθρώποισιν. Ταῦτα δὲ πάντα· τὰ μὲν καθ' ἡμέρας· τὰ δὲ, κατὰ μῆνας ἐπισημαίνει· τὰ δὲ κατὰ τεσσαρακοντάδας ἡμερῶν· τὰ δὲ κατ' ἐνιαυτόν. Ἐν πᾶσι γὰρ τοῖσι χρόνοισι τουτέοισιν, ἔνεστι πρὸς ἕκαστον πολλὰ μὲν ξυμφέροντα, πολλὰ δὲ πολέμια· ἐκ μὲν οὖν τῶν συμφερόντων, αἵ τε ὑγίειαι γίνονται, καὶ αἱ αὐξήσιες· ἐκ δὲ τῶν ἐναντίων, αἵ τε νοῦσοι, καὶ
46 οἱ θάνατοι. Αἱ μὲν οὖν ἡμέραι ἐπισημόταταί εἰσιν ἐν τοῖς πλείστοις, αἵ τε πρῶται καὶ ἑβδομαῖαι· πολλαὶ μὲν περὶ νούσων, πολλαὶ δὲ καὶ τοῖς ἐμβρύοις. Τρωσμοί τε γὰρ γίνονται καὶ οἱ πλεῖστοι ταύταις ταῖς ἡμέραις· " ὀνομάζεται δὲ τὰ τηλικαῦτα ἐκρύσεις, ἀλλ' οὐ τρωσμοί. Αἱ δ' ἄλλαι ἡμέραι, ὅσαι ἐντὸς τῶν τεσσαράκοντα, ἐπίσημοι μὲν ἧσσον, πολλαὶ δὲ κρίνουσιν. Ἐν δὲ τοῖς μησὶ ταῦτά τε καὶ ἐν τῇ ἡμέρῃ γινόμενα ἔνεστι κατὰ λόγον. Καὶ καταμήνια γυναιξὶ ταῖς ὑγιαινούσαις φαίνονται καθ' ἕκαστον τῶν μηνῶν, ὡς ἔχοντος τοῦ μηνὸς ἰδίην δύναμιν ἐν τοῖς σώμασιν. Ἐξ ὧν δὴ καὶ οἱ ἕβδομοι μῆνες ταῖς ἐν γαστρὶ ἐχούσαις, τὰ ἔμβρυα εἰς τὴν ἀρχὴν καθιστᾶσι τῆς τελειώσεως. Τοῖσι δὲ παιδίοισιν ἑπταμήνοισιν ἐοῦσι, καὶ ἄλλα διαφέροντα γίνονται ἐν τοῖς σώμασι, καὶ οἱ ὀδόντες φαίνεσθαι ἄρχονται ἐν τουτέῳ τῷ χρόνῳ. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ κρισίμων, ἥν περ ἴσως καὶ τοῖς δέ τις συγχρέοιτο, " 37 ὁκοῖα

CAPUT IV.

De diebus ac mensibus judiciariis, ac decretoriis conceptionis, abortus, partus.

At vero mulieribus fœtuum conceptiones, & abortiones, & partiones, eodem tempore judicantur, quo & morbi; & sanitas, & mors cunctis hominibus contingunt. Sed istorum omnium alia quidem diebus, alia mensibus, alia dierum quadragenariis, alia annuo spatio de se significationem præbent. In his enim omnibus temporibus multa quidem cuique conferentia, multa quoque adversa insunt. Ex quibus quæ conducunt, sanitatem & incrementa; contraria vero morbos & mortem afferunt. Dies igitur inter alios maxime insignes sunt primi & septimi, ac multum quidem in morbis, multum etiam in fœtibus possunt. Abortiones enim plurimæ his diebus contingunt; tales vero effluxiones nominantur, non abortus. Reliqui au-
36 tem dies intra quadragesimum, minus quidem insignes sunt, multi tamen decernunt. In mensibus vero omnia, quæ in diebus contingunt, eadem ratione. Et singulis mensibus bene valentibus mulieribus menstrua comparent, tanquam peculiarem in corporibus vim mensis habeat. Ex quibus sane septimi menses in prægnantibus, fœtibus perfectionis initium afferunt. Pueris vero, ubi septem menses attigerunt, tum alia eximia in corporibus fiunt, tum eo tempore dentes apparere incipiunt. Eadem quoque est ratio dierum judicatoriorum, si quis forte ea quæ a me dicta sunt, quæque cognitionis gratia dicentur,
37 istis accommodare velit. Etenim Medicum,

Variæ Lectiones.

36 Ἐκ νόσων κακοπαθείης ἀφιγμένα: Hieronym. Mercurial. huic vulgatæ lectioni interserit conjunctionem καὶ adscriptam in margine, ut legatur ἐκ νόσων καὶ κακοπαθείης *ex morbis & afflictione*. Pro ἀφιγμένα quædam MSC. exemplaria habent ἀφιγμένοισιν, & Cornar. vertit *progressis*. Lindenus autem scribit ἀφιγμένα; quæ lectio non improbanda videtur, ut sit sententia *ex morbis & afflictione prodeuntes* scilicet pueri; neque enim ἀφιγμένα recte cum Foesio & Charterio *accedente* verti potest. Quare nos Lindeni lectionem secuti sumus.

37 Ὁκοίας ἔλεξας vulgo scriptum erat: sed cum Zuingero, Foesio, & Lindeno emendavimus ὁκοῖα: post verba ἱστορίας τε, Lindenus addit καὶ χρείας, *& utilitatis* gratia.

dicum, qui de ægrorum salute recte conjectare volet, animadvertere oportet, ut omnes impares quidem dies in contemplationem adhibeat; ex paribus vero decimum quartum, & vigesimum octavum, & quadragesimum secundum. Hic enim terminus pro harmoniæ ratione, & integer perfectusque numerus a quibusdam ponitur: quam vero ob causam, longum foret in præsentia referre. Ad hunc autem modum per terminos aut quaternarios contemplari oportet, ternariis quidem omnibus copulatis, quaternariis vero duobus ad duos connexis, & duobus ad duos conjugatis.

ἔλεξα ἱϛορίας τε ἕνεκα εἰρήσθω. Σκαπεῖν γὰρ χρὴ τὸν μέλλοντα ἰητρὸν ὀρθῶς
ϛοχάζεσθαι τῆς τῶν καμνόντων σωτηρίας,
38 "θεωροῦντα μὲν, [38] περιτ]ὰς πάσας, τῶν
δὲ ἀρτίων τὴν τεσσαρεσκαιδεκάτην, καὶ
τὴν ὀγδόην εἰκοϛὴν, καὶ τὴν τεσσαρακοϛὴν καὶ δευτέρην. ὖτος γὰρ ὁ ὅρος τίθεται τῷ τῆς ἁρμονίης λόγῳ πρός τινων, καὶ ὁ ἀρτιφυὴς τε καὶ τέλειος ἀριθμός· δι' ἣν δὲ αἰτίην, μακρότερον ἂν εἴη ἐπὶ τῦ παρόντος διεξελθεῖν. Θεωρεῖν δὲ χρὴ οὕτως· τριάσι τε καὶ τετράσι. Ταῖς μὲν, τριάσι ξυ-
39 νημμέναις ἁπάσαις· ταῖς δὲ τετράσι·"
δύο μὲν, παρὰ δύο [39] συνημμέναις. δύο δὲ, παρὰ δύο συνεζευγμέναις.

CAPUT V.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

De quadragenarii Primi, & Secundi, & Tertii viribus, ac de Morte.

Περὶ τῆς ἰσχύος τῆς πρώτης, καὶ τῆς δεύτερας, καὶ τῆς τρίτης τεσσαρακοντάδος τε, καὶ θανάτου.

At vero quadragenariæ primum quidem in fœtibus judicant. Qui vero primos quadraginta dies superaverit, is abortiones, quæ ex omni causa contingunt, effugit. Plures autem primis quadraginta diebus, quam aliis omnibus, abortiones fiunt. Quo tempore præterito, fœtus valentiores existunt, & singula corporis membra discernuntur. Et in maribus quidem valde manifesta fiunt omnia. In fœminis vero per hoc tempus carnes conspicuæ sunt, protuberantias tantum habentes. Longiore enim tempore similia in similibus similiter se habent, & propter familiaritatem ac amicitiam tardius discernuntur. Etsi in cæteris, ubi a matre sejunctæ fuerint, puellæ citius quam pueri pubescunt, sapiunt & senescunt, propter corporum imbecillitatem, & victus rationem. Altera vero est quadragenaria, in qua per octavum mensem fœtus in utero ægrotant, de

ΑΙ δὲ τεσσαρακοντάδες πρῶτον μὲν κρίνουσιν ἐπὶ τῶν ἐμβρύων. Ὅ, τι δ' ἂν ὑπερβάλλῃ τὰς τεσσαράκοντα ἡμέρας τὰς πρώτας, ἐκφεύγει τοὺς τρωσμοὺς ἐπὶ παντὸς γινομένους. Πλέονες δὲ γίνονται ἐν τῇ πρώτῃ τεσσαρακοντάδι τρωσμοὶ, ἢ ἐν ταῖς ἄλλαις ἐοῦσαις. Τῦ δὲ τῦ χρόνυ παρελθόντος, ἰσχυρότερά ἐϛι τὰ ἔμβρυα, καὶ διακρίνεται καθ' ἕκαϛα τῶν μελέων τὸ σῶμα. Καὶ τῶν μὲν ἀρσένων, σφόδρα διάδηλα γίνεται πάντα· τὰ δὲ θήλεα, ἐς τῦτον τὸν
40 χρόνον, σάρκες φαίνονται" [40] ἀποφύσιας
μοῦνον ἔχουσαι. Πλείονα γὰρ χρόνον τὰ ὅμοια ἐν τῷ ὁμοίῳ ὅμοιόν ἐϛι, καὶ κρίνεται βραδύτερον, διὰ τὴν συνήθειάν τε καὶ φιλότητα. Καίτοι τά γε ἄλλα, ὅταν χωρισθῶσιν τῆς μητρὸς, αἱ θυγατέρες τῶν κούρων θᾶσσον ἡβῶσι, καὶ φρονέουσι καὶ γηράσκυσι διὰ τὴν ἀσθενείην τε τῶν σωμάτων, καὶ τὴν δίαιταν. Ἄλλη δὲ τεσσαρακοντὰς, ἐν ᾗ περὶ τὸν ὄγδοον μῆνα τὰ ἔμβρυα ἐν τῇ μήτρῃ νοσεῖ, περὶ ὧν ὁ λόγος λέγεται ὧδε σύμπας.

Variæ Lectiones.

38 Περὶ τὰς πάσας vulgo legebatur: sed ex Imp. Samb. emendavimus περιτ]ὰς πάσας, *impares omnes*, scilicet dies: de qua emendatione superius in præfatione verba fecimus.

39 Συνημμέναις: Zuingerus, & Allemantius propter tautologiam legi volunt, ἀσυνημμέναις *non copulatis* quaternariis, quos secutus est Lindenus: sed vulgatam lectionem non immutandam censuimus, quum rectam & veram sententiam comprehendat, quam Prosper Martianus pag. 58. vers. 105. solide & luculenter explicat his verbis: *Qua ratione hi dies inveniantur, pulcherrima regula nos docet, & inquit* (Hippocrates) *dies decretorios constitui per ternarios procedendo, & quaternarios: ita tamen ut ternarii perpetuo simul conjungantur omnes; quaternarii vero duo ad duo tantum, annexi numerentur; copulantur autem numeri hi, quando ultimus dies numeri præcedentis primus constituitur subsequentis; ut v. g. tertius dies est ultimus primi ternarii, si ergo hic fiat principium secundi ternarii, ternarius secundus in quintum diem terminabitur, qui decretorius est, cui tertio copulato ternario, dies septima constituitur, inde nona: & sic de reliquis subsequenter. Quaternarii vero dies criticos constituunt: verum duo tantum, ad duo sunt copulandi, duo enim quaternarii simul conjuncti modo nuper explicato diem septimam constituunt, & rursus tertius, & quartus quaternarius simul conjuncti, diem decimam quartam judicatoriam producunt.*

40 Ἀποφύσιας, ut ab Hesychio exponitur hoc vocabulum, *protuberantias*, aut *excrescentias*, nimirum in corpore, aut massa carnea, quæ nondum exacte in singula membra distincta sit, uti monet Foesius.

πας. Τρίτη δὲ, ἐν ᾗ τὰ παιδία, ὅταν γένηται καὶ κακοπαθήσαντα, ἢν περιφύγῃ τὰς τεσσαράκοντα ἡμέρας, ἐφάνη ἰσχύοντα δῆτα μᾶλλον καὶ φρονέοντα. Καὶ γὰρ τὰς [41] αὐγὰς ὁρᾷ σαφέστερον, καὶ τὸν ψόφον ἀκούει, πρόσθεν μὴ δυνάμενα, ὡς ἐπίδοσιν ἔχοντος τοῦ χρόνου τούτου κατὰ τὰ ἄλλα, καὶ κατὰ τὴν φρόνησιν τὴν διὰ τοῦ σώματος. Τὸ μὲν γὰρ ἴδιον φρόνημα δῆλόν ἐστιν ἐνὸν ἐν τῷ σώματι, ἔν γε τῇ πρώτῃ ἡμέρῃ. Ἔν τε γὰρ τοῖς ὕπνοισιν ἐοῦσιν εὐθέως, ἐπὴν γένωνται, γελῶντα φαίνεται τὰ παιδία, καὶ κλαίοντα. Ἐγρηγορότα δὲ αὐτόματα, [42] εὐθέως γελᾷ τε καὶ κλαίει, πρόσθεν ἢ τεσσαράκοντα ἡμέραι γενοίατο. [43] Οὐδὲ γελᾷ ψαυόμενά τε, καὶ ἐρεθιζόμενα πρόσθεν ἢ αὐτὸς ὁ χρόνος οὗτος γένηται. Ἀμβλύνονται γὰρ αἱ δυνάμεις ἐν ταῖς μύξῃσι. [44] Καί γε ὁ θάνατος διὰ τὴν μοίρην ἔλαχεν. Ὥστε παράδειγμα τοῖς πᾶσιν εἶναι, ὅτι πάντα φύσιν ἔχει ἐκ τῶν αὐτέων ἐόντα, μεταβολὰς ἔχειν διὰ χρόνων τῶν ἱκνουμένων. Σαφηνίζεται δὲ ἐν ἑκάστοισιν ἄλλό τι τῶν γινομένων καὶ ἀπογινομένων. Ἐν δὲ τῷ ἐνιαυτῷ τελουμένῳ, πολλαὶ μὲν νοῦσοι γίνονται, πολλαὶ δὲ ὑγεῖαι κατὰ λόγον τοῦ χρόνου, πρὸς τοὺς μῆνάς τε καὶ τὰς ἡμέρας ἑκάστας, [45] τοῖς ἑβδόμοις, καὶ τ' ἄλλα πολλὰ γένεται διαφέροντα τοῖς σώμασι· τοῖσι δὲ παιδίοισιν οἱ ὀδόντες ἐκπίπτουσι, καὶ ἕτεροι φύονται. Τὰ γὰρ ἐπὶ σώμασι τάδε γράψω.

quibus hæc tota oratio ad hunc modum est
instituta. Tertia vero, in qua, si nascuntur
pueri, licet male affecti, si quadragin-
41 ta dies evaserint, valentiores sane magis-
que intelligentes esse videntur. Nam &
splendorem plenius intuentur, & strepitum
audiunt, quum antea non possent, tanquam
hoc tempus plurimum conferat, tum
ad alia, tum ad intelligentiam, quæ in corpore
inesse percipitur. Sngularem siquidem
intelligentiam in corpore inesse prima sane
die constat. Nam & in somnis pueri statim
ubi nati sunt, & ridere & plorare conspiciuntur.
Quin etiam sponte vigilantes statim
rident, ac plorant, etiam priusquam
42 diem quadragesimum attigerint. Neque
vero tacti aut irritati ante hoc ipsum tempus
rident; hebetantur enim vires mucorum
copia. Quin & mors fatali sorte
43 contingit. Quod omnibus documento est,
omnia quæ existunt, ex iisdem natura constare,
& mutationes per congruentia tempora
obtinere. Quod ex singulis manifestum
fit, quæ partim oriuntur, partim decedunt.
Anno porro volvente multi quidem
morbi, multæ etiam sanitates contingunt,
pro temporis ratione, quam habent men-
44 ses aut dies singuli ad septenarios. Quin
etiam multa alia eximia in corporibus
fiunt, pueris vero dentes excidunt, & alii
nascuntur. Quæ enim corporibus accidunt,
hæc a me scribentur.

ΙΠΠΟ-

VARIÆ LECTIONES.

41 Αὐτὰς vitiose legebatur: sed ex Cornar. reposuimus αὐγὰς *lucem*, *splendorem*, ut ipse interpretatus est.

42 Εὐθέως γελᾶτε καὶ κλαίει *statim rident & plorant*: Lindenus scribit οὔτε γελᾷ, οὔτε κλαίει, *neque rident*, *neque plorant*.

43 Οὐδὲ γελᾷ. Calvus hic, ut monet Foesius, addere videtur οὐδὲ κλαίει *neque plorant* contra omnium exemplarium communem lectionem: quapropter verbum ψαυόμενα Cornarius intellexit de titillatione.

44 *Quin & mors fatali sorte contingit*: Quasi diceret quæcunque de virtute dierum decretoriorum explicata sunt, ad sanitatem, aut mortem inferendam ægrotantibus, eatenus vera sunt, quatenus naturæ progressus sequuntur, quandoquidem sæpe mors, & sanitas peculiari quodam modo a DEO prædestinata est, ita ut dierum prædictorum vis nullo modo in iis effectum sortiatur. Ibidem Μοιρίω vulgo scriptum erat: sed ex MSC. μοίρῃ legimus, quemadmodum & Lindenus.

45 Τοῖς ἑβδόμοις *ad septenarios*: hæc verba cum Zuingero, & Foesio ad præcedentia retulimus: sed Calvus, & Cornar. illa cum sequentibus conjungunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΚΤΑΜΗΝΟΥ.

HIPPOCRATIS DE OCTIMESTRI PARTU LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Διατὶ οὐ πάντη περιγίνονται τὰ ὀκτάμηνα· τὰ δεκάμηνα συχνότατα. πῶς τὸ ἔμβρυον ἀσφαλέστερον τρέφεται· περὶ τοῦ ὀμφαλοῦ ἔνια· περὶ τῆς τῶν καταμηνίων καθάρσεως, καὶ περὶ τοῦ ἐνδεκαμήνου τόκου.

ARGUMENTUM LIBRI.

Octimestris partus cur minime vitalis; decimestris frequentissimus; fœtus quomodo securius alatur; de umbilico quædam, de menstruis purgationibus, & de undecimo partus mense.

Basil. Lat. II. 37. pag. 164. | Foesius Sect. III. 39. 258. | Basil. Græc 197. pag. 46.

CAPUT I.

Cur octimestris partus non vitalis, sed decimestris; de multiplici fœtus periculo; ac partum in caput procumbentem securiorem esse.



De octimestri vero partu, fieri non posse assevero, ut duas continenter consequentes afflictiones pueri perferre queant proindeque octimestres minime superesse. Hic etenim accidit, ut ea quæ in utero est, & ea quæ in partu fit, afflictione consequenter laborent, proptereaque octimestris nullus est superstes. Quin & decimestres nuncupatos, septem dierum quadragenariis potissimum, in lucem edi sentio, maximeque ut educentur, convenire. Et perfectissimus fœtus est primis quadraginta diebus; si vero plures accesserint, perit. Quum enim multa pro tempore assumere coguntur, eos multum ægrotare necesse est, ex quibus mors consequitur. Puer autem, quum partus instat, laborare incipit, & in vitæ periculum venire, quum in

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Διατὶ οὐ περιγίνονται τὰ ὀκτάμηνα, ἀλλά γε τὰ δεκάμηνα· περὶ πολλῶν τῶν τοῦ ἐμβρύου κινδύνων, καὶ τὰ ἐπὶ τὴν κεφαλὴν συγκαμπτόμενα ἀσφαλέστερα εἶναι.

1 

ΠΕΡΙ ″ δὲ ὀκταμήνου γενέσιος φημὶ, δισσὰς ἐφεξῆς κακοπαθείας γενομένας, ἀδυνάτους εἶναι ποιέειν φέρειν τὰ παιδία, καὶ διὰ τοῦτο οὐ περιγίνεσθαι τὰ ὀκτάμηνα· συγκυρεῖ γὰρ αὐτοῖς ἐφεξῆς κακοπαθεῖν, τήν τε ἐν τῇ μήτρῃ γενομένην ′ κακοπαθείην, καὶ τὴν 45
ὅταν ὁ τόκος γένηται, καὶ διὰ τοῦτο τῶν ὀκταμήνων οὐδὲν περιγίνεται. Ἐπεὶ καὶ τὰ δεκάμηνα καλεόμενα λέγω ἐν ἑπτὰ τεσσαράκονθ᾽ ἡμέραις μᾶλλον τίκτεσθαι· καὶ μάλιστα προσήκει ἐκτρέφεσθαι· καὶ τελεώτατόν ἐστιν ἐν ταῖς πρώταις τεσσαράκοντα ἡμέραις· ἐπὴν δὲ γένηται πλείω, ἀπόλλυται. Ἀναγκάζεται γὰρ πολλὰ μεταλαμβάνοντα ἐν ὀλίγῳ χρόνῳ πολλὰ νοσεῖν, ἐξ ὧν οἱ θάνατοι γίγνονται.
2 Ἄρχεται δὲ πονέειν τὸ ′ παιδίον ″ [1] πρὸς τοῦ 47
τόκου γινόμενον, καὶ κινδυνεύειν ἀπολέσθαι, ὅταν

Variæ Lectiones.

Hic Libellus præcedenti & materia & tractatione simillimus videtur, ac propterea prorsus eidem Auctori, nempe Hippocrati, adjudicatur.

1 Πρὸς τοῦ τόκου legunt Germanica exemplaria; subintellige cum Foesio χρόνου, *tempus*, scilicet *quum partus instat*, appetente partus tempore. Cornar. legisse cum Calvo videtur. πρὸ τοῦ τόκου, *ante partum*. Mercurialis vulgatam lectionem servat, sed Cornarii versionem retinuit.

ὅταν ἐν τῇ μήτρῃ στρέφηται. Φύεται γὰρ πάντα ἄνω τὴν κεφαλὴν ἔχοντα. Τίκτεται 3 δὲ [2] πολλὰ ἐπὶ κεφαλήν· καὶ ἀσφαλέστερον ἀπαλλάσσει, τῶν ἐπὶ πόδας τικτομένων. Τὰ γὰρ συγκαμπτόμενα τοῦ σώματος ἐπὶ κεφαλὴν οὕτω κωλύει ἰόντος τοῦ παιδίου. Ἀλλὰ μᾶλλον ὅταν ἐπὶ πόδας ὁρμήσῃ, τὰ ἐμφράγματα γίνονται. Αἱ γὰρ στροφαὶ ἐν τῇ γαστρὶ, καὶ ἄλλος κίνδυνος. [3] καὶ οἱ ὀμφαλοὶ πολλάκις ἤδη 4 τῶν παιδίων ἐφάνησαν περὶ τοὺς τραχήλους. Ἢν γὰρ κατὰ τὸ μόριον ὁπότερον ἂν 5 τύχῃ ὁ ὀμφαλὸς τῇ μήτρῃ παρατεταμένος, μᾶλλον ταύτῃ τὸ παιδίον τῆς κεφαλῆς τὴν περιαγωγὴν [4] τοῦ ὀμφαλοῦ στρεφόμενον ποιήσεται, ἢ περὶ τὸν αὐχένα. 6 Ἢν δὲ κατὰ τὸν ὦμον τὴν περιβολὴν τοῦ ὀμφαλοῦ [5] ἀντιτείνει, τούτου δὲ γενομένου, καὶ τὴν μητέρα ἀνάγκη πονῆσαι μᾶλλον, καὶ τὸ παιδίον, ἢ ἀπολέσθαι, ἢ χαλεπώτερον ἐξελθεῖν. Ὥστε ἤδη καὶ πολλὰ ἔνδον τὴν ἀρχὴν τῆς νόσου τῶν παιδίων ἦλθεν ἔχοντα. [6] ἐξ ἧς τὰ μὲν ἀπώλετο· 7 τὰ δὲ νοσήσαντα περιεγένετο.

utero vertitur. Producuntur siquidem omnes caput habentes sursum; in lucem vero prodeunt in caput multi, ac multo securius liberant, quam qui in pedes eduntur. Neque enim corporis flexiones puerum in caput procedentem impediunt. Verum ubi in pedes erumpit, obturamenta magis contingunt. Quin & conversiones in utero aliud creant periculum, & puerorum umbilici jam sæpe circa colla implicati conspecti sunt. Ad quamcunque enim partem umbilicus in utero se extenderit, per hanc, dum umbilicus vertitur, puer caput potius circumaget; quam si circa cervicem convolvatur. Quod si ad humerum umbilici injectio obnitatur, hoc ubi accidet, etiam matrem magis laborare, & puerum aut interire, aut difficilius exire necesse est. Quare multi jam pueri morbi initium intus nacti, in lucem prodiere; ex quo alii quidem perierunt, alii vero morbum trahentes superfuerunt.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Τὰ ἔμβρυα ἀπὸ τοῦ τόκου μείζω γίνεσθαι. περὶ τῆς κινδυνώδους τῶν τροφῶν τε καὶ τῶν χωρίων, καὶ τῶν ἐσθημάτων μεταλλαγῆς· τὸν τοῦ παιδίου ὀμφαλὸν τῇ μήτρῃ προσέρχεσθαί τε καὶ ἀναστομοῦσθαι· ἔξω διὰ τὰς μήτρας ξυμμύειν, καὶ τἄλλα ἀνοίγνυσθαι.

Ὁκόσα δ' ἂν εὐπορήσῃ, καὶ ἀσφαλέως, καὶ ἐς τοὐμφανὲς ἐξίῃ, ἀνεθέντα ἐξαίφνης ἐκ τῆς ἀνάγκης τῆς ἐν τῇ γαστρὶ, παχύτερα καὶ μέζω παραυτίκα ἢ κατὰ λόγον ἐγένετο, οὐκ αὐξήματος· ἀλλ' οἰδήματος γενομένου· ἐξ ὧν δὴ πολλὰ ἀπώλετο. Ἢν γὰρ μὴ συνίζῃ τὸ οἴδημα θᾶσσον, ἢ τριταῖον, ἢ ὀλίγῳ πολυχρονιώτερον, νοῦσοι γίνονται ἀπ' αὐτέου. 8 [7] Ὥστε τροφαὶ καὶ ἀναπνοαὶ σφαλεραὶ μεταλλασσόμεναι. 9 Ἢν τι γὰρ νοσηρὸν ἐπάγωνται, κατὰ τὸ στόμα, καὶ κατὰ τὰς ῥῖνας ἐπάγονται. Καὶ ἀντὶ τοῦ τοσαῦτα εἶναι τὰ ἐσιόντα ὅσα ἐξαρκέει, καὶ μὴ περιγίνεσθαι, πολλῷ πλέω εἰσέρχεται. Ὥστε ἀναγκάζεσθαι ὑπὸ τοῦ πλή-

CAPUT II.

A partu pueros majores fieri, de alimentorum, locorum, & vestimentorum mutatione periculosa; umbilicum fœtus utero adhærere, ac patere, extra uterum connivere ac claudi, & reliquas partes patere.

At vero qui facilem & tutum exitum nacti, derepente sublata vi, quam in utero pertulerunt, in lucem exierunt; ii crassiores & majores statim, quam ratio postulet, evaserunt: quod cum iis non incremento, sed ex corporis laxo tumore contingat, ex his sane multi perierunt. Nisi enim tumor citius quam tertio die, aut paulo longiore tempore subsidat, ex eo morbi oriuntur: quin & periculosæ sunt alimenti & respirationis permutationes. Nam si quid morbosum invehunt, per os, & nares inducunt. Et ut tantum alimenti assumatur quantum satis sit, ac minime superet, multo plura ingeruntur, ita ut pro inge-

VARIÆ LECTIONES.

2 Πολλὰ. Mercur. ex vet. Cod. τὰ πολλὰ &c.

3 Vitiose Calvus legit καὶ οἱ ὀφθαλμοὶ *& oculi*, cum ὀμφαλοὶ *umbilici* legendum sit.

tudinem adolescere cogunt, vinculis & idoneis instrumentis adhibitis, quibus capitis rotunditas vitietur, & longitudo augeatur. Hoc institutum primum hujusmodi naturæ dedit initium: successu vero temporis in naturam abiit, ut proinde instituto nil amplius opus esset. Semen enim genitale ex omnibus corporis partibus provenit, ex sanis quidem sanum, & ex morbosis morbosum. Si igitur ex calvis calvi gignuntur, ex cæsiis cæsii, & ex distortis ut plurimum distorti, eademque in cæteris formis valet ratio; quid prohibet cur non etiam ex Macrocephalo Macrocephalus gignatur? nunc autem similiter ut antea non nascuntur, obsolescente per hominum incuriam instituto. Ac de his quidem sic sentio. Jam vero de his, qui Phasim accolunt. Regio illa est palustris, calidaque, ac aquosa & densa: imbribusque copiosis & vehementibus fere semper perfunditur. Hominesque in paludibus vitam degunt, & domos ligneas & arundineas in aquis fabrefactas habent: raro urbes & emporia adeunt; verum navigiis ex ligno uno cavatis sursum ac deorsum navigant: quum fossas aqueas habeant plurimas. Aquas enim bibunt calidas, stagnantesque, sole putrefactas, & imbribus auctas. Ipseque Phasis præ cæteris fluminibus maxime stagnans est, & lentissime decurrit; fructusque omnes, qui illic nascuntur, nullum incrementum accipiunt, effoeminati sunt, & præ aquarum copia imperfecti: ideoque non maturescunt. Aër quoque multum caliginosus ab aquis sublatus hanc regionem occupat. His sane de causis Phasiani corporis formam a cæteris hominibus longe diversam habent. Proceritate enim magni, & corpulentia valde excedunt; neque articulus ullus, neque vena comparet; luteoque sunt colore velut morbo regio detenti; quumque aëre utantur minime puro, sed caliginoso & maxime humido, gravissimam præ aliis omnibus vocem edunt.

σιν ἐς τὸ μῆκος αὔξεσθαι, [87] δέσματα 77
προσφέροντες καὶ τεχνήματα ἐπιτήδεια, ὑφ'
ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦ-
ται, τὸ δὲ μῆκος αὔξεται. Αὐτὸς τὴν
ἀρχὴν ὁ νόμος κατειργάσατο ὥστε τοιαύτην
τὴν φύσιν γενέσθαι· τοῦ δὲ χρόνου προϊόν-
τος, ἐν φύσει ἐγένετο, ὥστε τὸν νόμον μη-
76 κέτι ἀναγκάζειν. Ὁ γὰρ γόνος πανταχό-
χόθεν ἔρχεται τοῦ σώματος, ἀπό τε τῶν
ὑγιηρῶν, ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν, νοσε-
ρός. Εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν,
φαλακροὶ· καὶ ἐκ γλαυκῶν, γλαυκοὶ· καὶ ἐκ
διεστραμμένων, στρεβλοὶ, ὡς ἐπὶ τὸ πλῆθος,
καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος·
τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφα-
77 λον γίγνεσθαι; νῦν δὲ ὁμοίως οὐκέτι γί-
γνονται, [88] ὡς πρότερον. Ὁ γὰρ νόμος
οὐκ ἔτι ἰσχύει, διὰ τὴν [89] ἀμέλειαν τῶν
ἀνθρώπων. Περὶ μὲν οὖν τουτέων, οὕτως
μοι δοκέει. Περὶ δὲ τῶν ἐν Φάσει. Ἡ χώ-
ρη ἐκείνη ἑλώδης ἐστὶ, καὶ θερμὴ, καὶ ὑδα-
τεινὴ, καὶ δασεῖα· ὄμβροι τε αὐτόθι γί-
γνονται πᾶσαν ὥρην, πολλοί τε καὶ ἰ-
σχυροί. Ἥτε δίαιτα τοῖσιν ἀνθρώποισιν ἐν
τοῖσιν ἕλεσίν ἐστιν, τά τε οἰκήματα ξύ-
λινα καὶ καλάμινα ἐν ὕδασι μεμηχα-
νημένα· ὀλίγῃ τε χρέονται βαδίσει κα-
78 τὰ τὴν πόλιν, καὶ τὸ ἐμπόριον, ἀλλὰ
μονοξύλοισι [90] διαπλέουσιν ἄνω καὶ κά-
τω· διώρυγες γὰρ πολλαί εἰσιν. Τὰ δὲ
ὕδατα θερμὰ καὶ στάσιμα πίνουσιν, ὑπό τε
τοῦ ἡλίου σηπόμενα, καὶ ὑπὸ τῶν ὄμβρων
ἐπαυξόμενα. Αὐτός τε ὁ Φάσις στα-
σιμώτατος πάντων τῶν ποταμῶν, καὶ
ῥέων ἠπιώτατα· οἵτε καρποὶ γινόμενοι
79 [91] αὐτόθι πάντες [92] ἀναλδέες εἰ-
σὶ, κατατεθηλυσμένοι, καὶ ἀτελέες ὑπὸ
πολυπληθείης τοῦ ὕδατος· διὸ καὶ οὐ πε-
80 παίνονται. Ἠήρ τε πουλὺς κατέχει
τὴν χώρην ἀπὸ τῶν ὑδάτων. Διὰ ταύ-
τας δὴ τὰς προφάσιας, τὰ εἴδεα ἀπηλ-
λαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν
οἱ Φασιηνοί. Τά τε γὰρ μεγέθη με-
γάλοι· τὰ πάχεα δ' ὑπερπαχέες· ἄρ-
θρόν τε κατάδηλον οὐδὲν, οὐδὲ φλέψ·
τήν τε χροιὴν [93] ὠχρὴν ἔχουσιν, ὥσ-
περ ὑπὸ ἰκτέρου ἐχόμενοι· φθέγγονταί τε
βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεώμενοι
81 οὐ λαμπρῷ, ἀλλὰ γνοφώδει τε καὶ
διε-

VARIÆ LECTIONES.

87 Δέσματα προσφέροντες legit Imperialis Sambuc. pro δεσμά τε, quam lectionem sequimur.

88 Quædam exemplaria pro ὡς reponunt ἤ.

89 Codex Gadaldini διὰ τὴν ὁμιλίαν τῶν ἀνθρώπων legit hoc sensu: *nunc autem similiter non nascuntur, quemadmodum prius; lege hominum per consuetudinem non amplius durante:* quasi vellet jam ab hujusmodi peculiaribus figuris capitum immutatos & imminutos, quod cum iis gentibus aliæ sint commixtæ. Quæ lectio, quamvis non improbetur (hoc enim quandoque evenire solet) tamen prior retinenda. vid. Septal. pag 411.

90 Διαπλώουσιν videtur legisse Calvus, quæ lectio in quibusdam MSC. adscribitur, pro qua Foes. διαπλέουσιν, aut διαπλώουσιν legere mavult, idque sequimur.

91 Αὐτόθι quidam codd. pro αὐτίοι, quam lectionem sequimur.

92 Ἀναλκέες *invalidi* scilicet fructus, legunt quidam codd. quam lectionem notat Zuingerus; verum ἀναλδέες *non crescentes* ex Erotiano, & Galeno melius legitur, ut sit, quod non alitur, non augetur. vid. Foesium in Hipp. Oeconom. verbo ἀναλδής.

93 Ὑπόχρων *pallidum* præter rationem legit Baccius.

[94] διερῷ. Πρὸς ταλαιπωρέειν τε τὸ σῶμα ἀργότεροι πεφύκασιν, αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν, οὔτε πρὸς τὸ πνῖγος, οὔτε πρὸς τὸ ψύχος. Τά τε πνεύματα πολλὰ νότια, πλὴν [95] αὔρης μιῆς ἐπιχωρίης, αὕτη δὲ πνέει ἐνίοτε βίαιος, καὶ χαλεπὴ, καὶ θερμὴ, καὶ κέγχρονα ὀνομάζουσιν τοῦτο τὸ πνεῦμα. Ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνεῖται· ὁκόταν δὲ πνέῃ, ἀσθενὴς καὶ βληχρός.

Sunt etiam ad corporis exercitationem natura segniores, annique tempestates, quod ad æstum aut frigus, non multum variant. Venti iis plurimi sunt austrini, potissimum unus ejus regionis peculiaris, qui interdum violentior, molestior & calidior spirat, quem Cenchrona nominant. Boreas vero non admodum huc pervenit; quod si aliquando spiret, debilis tamen & valde lenis est.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διὰ τί οἱ Ἀσιηνοὶ ἄθυμοί τε καὶ ἀνανδρειεῖς

ΠΕρὶ " [96] μὲν τῆς φύσιος, καὶ τῆς δια- 82
φορῆς, καὶ τῆς μορφῆς τῶν ἐν τῇ
Ἀσίῃ, καὶ τῇ Εὐρώπῃ, οὕτως ἔχει. " [97] 83
Περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων, καὶ
τῆς ἀνανδρείης, ὅτι [98] ἀπολεμώτεροί εἰσιν
τῶν Εὐρωπαίων οἱ Ἀσιηνοὶ, καὶ ἡμερώτεροι
τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα, οὐ με-
γάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε
ἐπὶ τὸ θερμὸν, οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλ-
λὰ παραπλήσιαι· οὐ γὰρ γίγνονται ἐκπλή-
ξιες τῆς γνώμης, οὔτε μετάστασις ἰσχυρὴ
τοῦ σώματος. Ἀφ' ὅτων εἰκὸς τὴν ὀργὴν
ἀγριοῦσθαί τε, [99] καὶ τοῦ γνώμονος, καὶ
(τοῦ) θερμοῦ μετέχειν μᾶλλον, ἢ ἐν τῷ αὐ-
τέῳ ἀεὶ ὄντα. Αἱ γὰρ μεταβολαί εἰσι τῶν
πάντων, [100] ἀεί τε ἐγείρουσι τὴν γνώμην 84
τοῦ ἀνθρώπου, καὶ οὐκ ἐῶσιν ἀτρεμίζειν.
Διὰ ταύτας ἐμοὶ δοκέει τὰς προφάσιας,
[101] " ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνὸν, 85
καὶ προσέτι διὰ τοὺς νόμους. Τῆς γὰρ
Ἀσίης τὰ πολλὰ βασιλεύεται. Ὅκου δὲ
μὴ αὐτοὶ ἑωϋτέων εἰσὶ καρτεροὶ ἄνθρωποι,
μηδὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ
περὶ τουτέου αὐτέοισιν ὁ λόγος ἐστὶν, ὅπως
τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δό-
ξωσι μάχιμοι εἶναι. Οἱ γὰρ κίνδυνοι οὐχ
ὅμοιοί εἰσιν. Τοὺς μὲν γὰρ στρατεύεσθαι
εἰκὸς, καὶ ταλαιπωρέειν, καὶ ἀποθνήσκειν
ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτῶν, ἀπό τε
παιδίων καὶ γυναικὸς ἐόντας, καὶ τῶν λοι-

CAPUT IX.

Cur Asiani timidi sint ac imbelles.

DE natura quidem, ac differentia & forma eorum, qui Asiam & Europam incolunt, ita habet. Quod autem ad animi ignaviam & mollitiem attinet, cur Asiatici Europæis minus bellicosi sint, & moribus lenioribus, anni tempestates in causa sunt, quæ non magnas, tum ad calorem tum ad frigus, permutationes faciunt, verum similes permanent; unde neque mentis validæ perturbationes fiunt, neque corpus vehementer a suo statu dimovetur. Ex quibus iram exasperari, ac prudentiæ & caloris compotes fieri magis æquum est, quam si eodem semper statu permaneant. Mutationes enim inter omnia hominis mentem semper excitant, neque sinunt quiescere. Quas ob causas mihi Asiaticorum genus imbelle videtur, atque adhuc amplius propter leges. Multo enim maxima Asiæ pars regum imperio regitur. Ubi vero homines sui potestatem non habent, neque sui juris sunt, sed dominis subditi, ii rerum bellicarum nullam curam habent, sed ut ne bellicosi videantur. Neque enim æqualia pericula impendent. Hos siquidem pro dominis in militiam proficisci, & labores tolerare, mortemque oppetere necesse est, relictis domi liberis, uxore, ac reli-

VARIÆ LECTIONES.

94 Sic legunt omnia exemplaria; sed λιβερῷ pro διερῷ Erotianum legisse existimat Foesius, facili admodum mutatione, ut aërem tenebricosum, & sua densitate nigrum intelligat: quam lectionem innuere videtur Hesych. qui λιβερὸν, σκοτεινὸν, μέλαν, δίυγρον exponit.

95 Solœcismum hic esse innuit Martianus, cum πνεῦμα neutrum non conveniat cum adjectivis fœmininis, nisi forte intelligas aliud substantivum πνοή; quare non inepte αὔρας legit Servin. cod.

96 Καὶ περὶ quædam exemplaria legunt; quod autem sequitur, καὶ τῇ εὐρώπῃ expungendum esse censet Septalius, quod nulla superius de Europæis gentibus mentio facta fuerit, ac descriptio; nisi quis Phasianos in Europa posuerit, quos tamen Xenophon Expedit. Cyri 4. Strabo, & Ptolemæus in Asia locarunt.

97 Hic locus longe aliter apud Galen. legitur Libr. Quod animi mores &c. & vitiose in nostris exempl.

98 Ἀπολεμώτατοι in quibusdam exemplaribus vitiose legitur pro ἀπολεμώτεροι.

99 Καὶ τοῦ ἀγνώμονος, καὶ θυμοειδέος μετέχειν μᾶλλον, & *de inhumanitate, & iracundia participare magis* legit Gedaldini codex: Zuingerus θυμοῦ, *intelligentia* pro θερμοῦ *calori* legit, quam lectionem secutus est Baccius. Nos sequimur vulgatam, quæ non nisi magna urgente necessitate immutari debet.

100 Αἵ τε ἐγείρουσι τὴν γνώμην κ. λ. legunt exemplaria quædam, quam lectionem secutus est Lindenus, & Cornarius pro ἀεί τε. Asulana exemplaria ἰῶσαι pro ἰῶσι.

101 Ἄναλκες exponit Erotianus τὸ ἄνανδρον καὶ ἀδύνατον, *imbelle, & imbecillum*, ubi notat Foesius in Oecon. melius scribi τὸ ἀβοήθητον, *inaudire*, quod est sine auxilio; ἄλκη enim apud Hippocrat. ἡ βοήθεια dicitur *auxilium*.

quis amicis. Quod si probe ac viriliter se gesserint, inde dominis opes augentur & crescunt, ipsi pericula & cædes pro fructu nanciscuntur. Deinde vero ab his hujuscemodi hominum animos mansuescere necesse est, & propter inertiam bellicam, & propter otium; ita ut si quis etiam natura virilis sit & animosus, ejus animus a legibus invertatur. Cujus rei hoc magnum est indicium, quod quicunque in Asia Græci ac Barbari dominis minime sunt subditi, sed liberi, & sui laboris quæstum faciunt, ii omnium bellicosissimi sunt. Sibi enim ipsis pericula subeunt: & ut fortitudinis præmia reportant, ita ignaviæ pœnas luunt. Asiaticos autem plurimum inter se differre, & hos quidem generosiores, illos vero degeneres esse comperies. Quorum quidem causa ad anni tempestatum mutationes, quemadmodum antea diximus, referenda est. Atque sic quidem de his, qui Asiam incolunt.

CAPUT X.

De Europa, ac primum de natura, moribus, victu, & forma Scytharum.

IN Europa autem gens est Scythica, quæ Mæotim paludem incolit, & a reliquis gentibus plurimum differt, Sauromatæ appellantur. Eorum fœminæ equitant, arcu utuntur, & ex equo jaculantur, & cum hostibus bellum gerunt, quamdiu virgines sunt; neque ante virginitatem deponunt, quam tres hostes interfecerint; neque prius cum viris congrediuntur, quam sacra Diis patrio more peregerint. Quod siqua sibi virum delegerit, equitatu soluta est, nisi communis expeditionis necessitas ingruat. Dextram autem mammam non habent: puellis enim adhuc infantibus, æreo instrumento, ad id fabricato & candente, dextræ mammæ admoto, eam matres exurunt, ne incrementum accipiat, sed ad dextrum humerum & brachium omnis vis ac ro-

τῶν φίλων. Καὶ ὁκόσα μὲν ἂν χρηςὰ, καὶ ἀνδρεῖα ἐργάσωνται, οἱ δεσπόται ἀπ' αὐτέων αὔξονταί τε καὶ ἐκφύονται, τοὺς δὲ κινδύνους, καὶ θανάτους αὐτοὶ καρποῦνται. Ἔτι δὲ πρὸς τούτοισιν τῶν
86 τοιούτων ἀνθρώπων, ἀνάγκη [102] ἡμεροῦσθαι τὴν ὀργὴν ὑπό τε [103] ἀπολεμίης καὶ ἀεργίης· ὥςε καὶ εἴτις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ἀπὸ τῶν νόμων. Μέγα δὲ τεκμήριον τουτέων, ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες, ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ' αὐτονομοί εἰσι, καὶ ἑωϋτέοισιν ταλαιπορεῦσιν, οὗτοι μαχιμώτατοί εἰσι πάντων. Τοὺς γὰρ κινδύνους ἑωϋτέων πέρι κινδυνεύουσιν· καὶ τῆς ἀνδρείης αὐτέοι τὰ ἆθλα φέρονται, καὶ τῆς δειλίης
87 τὴν ζημίην ὡσαύτως. Εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωϋτέων, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας· τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπέρ μοι εἴρηται ἐν τοῖς προτέροισι. Καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ, οὕτως ἔχει.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Περὶ τ͂ Εὐρώπης, κ͵ πρῶτον περὶ τ͂ φύσεώς τε, κ͵ τῶν ἠθέων, κ͵ τῆς διαίτης, κ͵ τῆς τῶν Σκυθέων μορφῆς.

ΕΝ δὲ τῇ Εὐρώπῃ ἐςιν ἔθνος Σκυ- 78
θικὸν, ὃ περὶ τὴν λίμνην οἰκεῖ τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων, Σαυρομάται καλεῦνται. Τουτέων αἱ γυναῖκες ἱππάζονταί τε, κ͵ τοξεύουσιν, κ͵ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων, κ͵ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἔωσιν· οὐκ ἀποπαρθενεύονται δὲ, μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον συνοικέου-
88 σιν, ἤπερ [104] τὰ ἱερὰ θύωσι τὰ ἐν τῷ νόμῳ. Ἣ δ' ἂν ἄνδρα ἑωϋτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου ςρατείης. Τὸν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσιν· παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις, αἱ μητέρες χάλκεον τε-
89 τεχνημένον, καὶ [105] ἐπ' αὐτῷ τουτέῳ διάπυρον ποιέουσαι, πρὸς τὸν μαζὸν τιθέασιν τὸν δεξιὸν, καὶ ἐπικαίεται, ὥςε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον, καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν, καὶ τὸ πλῆ-

VARIÆ LECTIONES.

102 Ita legimus cum Zuingero, & quidem multo meliori sensu; siquidem vulg. codd. hanc particulam sic legunt: *ἔτι δὲ πρὸς τούτοισιν τῶν τοιούτων ἀνθρώπων ἀνάγκη ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολεμίων καὶ ἀργίης, præterea vero præter hanc rem hujusmodi, hominum terram necesse est desolari ob bellica, & otium.* Ubi facile apparet lapsum exscribentium ἡμεροῦσθαι in ἐρημοῦσθαι, & ὀργὴν in γῆν.

103 Sic supra laudatus Zuinger. Alia exemplaria πολεμίων καὶ ἀργίης, *inertiam bellicam* vertit Cornarius, quam lectionem præfert Aldi editio, & codex Octav. Ferrarii. ex quo non paucas variantes scriptiones collegit Doctiss. Septalius.

104 Vulgati codd. ἤπερ τὰ ἱερὰ θύουσι τῷ ἐν νόμῳ legunt; nos vero Æmil. Porti emendationem sequimur, ubi pro τῷ, τὰ habetur.

105 Ἢ ἴσως ἐπ' αὐτέῳ τουτέῳ διάπυρον ποιέουσαι legunt quædam exempl. Vaticana.

πλῆθος ἐκδιδόναι. Περὶ δὲ τῶν λοιπῶν Σκυ-
θέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκα-
σι, ϰ̀ οὐδαμῶς ἄλλοις, ὠὐτὸς λόγος, καὶ
περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ
τοῦ θερμοῦ εἰσὶ βεβιασμένοι· οἱ δ' ἀπὸ
τοῦ ψυχροῦ. Ἡ δὲ Σκυθέων ἐρημίη κα-
λευμένη, πεδιάς ἐςι, " καὶ [106] λειμακώ- 90
δης, " καὶ [107] ψιλὴ, καὶ ἔνυδρος μετρίως. 91
Ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύου-
σι τὸ ὕδωρ ἐκ τῶν πεδίων· ἐνταῦθα καὶ
οἱ Σκύθαι διαιτεῦνται, Νομάδες δὲ κα-
λεῦνται, ὅτι οὐκ ἔςιν οἰκήματα, ἀλλ' ἐν
ἁμάξαις οἰκεῦσιν· αἱ δὲ ἅμαξαί εἰσιν, αἱ
μὲν ἐλάχιςαι τετράκυκλοι, αἱ δὲ ἑξάκυκλοι.
" Αὗται δὲ [108] πίλοισι περιπεφραγμέναι, εἰσὶ 92
δὲ ϰ̀ τετεχνασμέναι, ὥσπερ οἰκήματα, τὰ
μὲν ἁπλᾶ, τὰ δὲ τριπλᾶ· " ταῦτα δὲ καὶ 93
[109] ςεγνὰ πρὸς ὕδωρ, καὶ πρὸς χιόνα, καὶ
πρὸς τὰ πνεύματα. Τὰς δὲ ἁμάξας ἕλ-
κουσι ζεύγεα, τὰς μὲν δύο, τὰς δὲ, τρία
βοῶν κέρως ἄτερ· οὐ γὰρ ἔχουσι κέρατα
ὑπὸ ψύχεος. Ἐν ταύταις μὲν οὖν ταῖς ἁ-
μάξαις (αἱ) γυναῖκες διαιτεῦνται· αὐτοὶ δ' ἐφ'
ἵππων ὀχεῦνται οἱ ἄνδρες· ἕπονται δὲ αὐ-
τέοις, " καὶ τὰ πρόβατα ἐόντα, καὶ αἱ βό- 94
ες, καὶ οἱ ἵπποι· μένουσι δ' ἐν τῷ αὐτέῳ
τοσοῦτον χρόνον, ὅσον ἂν ἀπόχρῃ ὠὐτέοι-
σι τοῖς κτήνεσιν ὁ χόρτος· ὁκόταν δὲ μη-
κέτι, εἰς ἑτέρην χώρην [110] ἔρχονται. Αὐ-
τοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ, καὶ πίνουσι
γάλα ἵππων, " καὶ ἱππάκην τρώγουσιν, 95
τοῦτο δ' ἐςὶ τυρὸς ἵππων· τὰ μὲν εἰς τὴν
δίαιταν αὐτέων οὕτως ἔχει καὶ τοὺς νό-
μους, περί τε τῶν ὡρέων καὶ τῆς μορφῆς,
ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώ-
πων τὸ Σκυθικὸν γένος, καὶ ἔοικεν αὐτὸ
ἑωϋτέῳ, ὥσπερ τὸ Αἰγύπτιον. Καὶ ἥκιςα
πολύγονόν ἐςιν, καὶ ἡ χώρη ἐλάχιςα θη-
ρία τρέφει κατὰ μέγεθος ϰ̀ πλῆθος. Κεῖ-
ται γὰρ ὑπ' αὐταῖς ταῖς ἄρκτοις, καὶ τοῖς
ὄρεσιν τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ βορέης πνέει·
ὅ, τε ἥλιος τελευτῶν ἐγγύτατα γίγνεται,
ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους,
καὶ τότε ὀλίγον χρόνον θερμαίνει· καὶ οὐ
σφόδρα τὰ [111] διαπνεύματα τὰ ἀπὸ τῶν
θερμῶν πνέοντα ἀφικνεῖται, ἢν μὴ ὀλι-
γάκις καὶ ἀσθενέα, ἀλλ' ἀπὸ τῶν ἄρκτων
ἀεὶ πνέουσιν πνεύματα ψυχρὰ ἀπό τε χιό-
νος, καὶ κρυςάλλων, καὶ ὑδάτων πολλῶν,
οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει· ἀπὸ του-
τέων δὲ δυσοίκητά ἐςιν. [112] Ἠήρ τε κατέ-
χει πουλὺς τῆς ἡμέρης τὰ πεδία, καὶ ἐν

bur deferatur. De reliquis autem Scythis, quod forma inter se sint similes, & neutiquam aliis, eadem ratio, quæ de Ægyptiis habenda est, nisi quod hi calore, illi frigore urgentur. At vero solitudo Scythica appellata, in planitie sita est, & pratis abundat, nuda arboribus, & modice aquosa est. Magni enim fluvii aquam ex campis per rivos deducunt; in hac itaque Scythæ, Nomades dicti, degunt, quod domos nullas habeant; sed in curribus habitent, quorum vel minimi quatuor, reliqui sex rotis aguntur. Hi autem, compactis villis obducti, & ad instar domorum fabricati sunt, alii quidem simplici, alii etiam triplici tabulato; ipsique in angustum coarctati adversus aquam, nivem ac ventos. Currus trahunt, alios quidem duo boum paria sine cornibus, alios tria; namque hi præ frigore cornua non habent. His igitur in curribus mulieres degunt; ipsi vero viri in equis vehuntur: eos sequuntur pecorum greges, & boves, & equi; tamdiuque uno in loco subsistunt; quoad ipsis pecoribus pabulum sufficit, quo deficiente, ad aliam regionem commigrant. Carnibus coctis vescuntur, & lacte equino in potu utuntur, & hippace, hoc est, caseo equino, victitant. Ac de eorum victus ratione & institutis hactenus quidem dictum est, simulque de anni temporibus, quodque Scythica gens forma multum a reliquis hominibus diversa est, sibi ipsi similis, non secus ac Ægypitii. Minime fœcunda est ea gens, ipsaque regio minimas feras alit, & magnitudine, & numero. Sub ipsis enim Ursis Riphæisque montibus, unde Boreas spirat, est posita; solque quum ad extremam conversionem æstivam venerit, proxime accedit, & tunc quidem exiguo tempore calefacit: neque venti ex calidis locis spirantes, nisi rari ac debiles, huc admodum perveniunt; sed venti frigidi ab Ursis, nive, glacie, & multis aquis, perpetuo spirant, neque unquam montes deserunt; unde non nisi ægre habitari possunt. Aërque densus tota die campos occupat, ipsique in humidis locis

Variæ Lectiones.

106 Λιμακώδης vulgata exemplaria.

107 Aldina & Vaticana exempl. ὑψηλὴ *sublimis* legunt, quam lectionem secuti sunt Calvus, & Cornarius, & Zuingerus, quæ lectio stare potest cum infra πεδία μετέωρα καὶ ψιλὰ esse dicat.

108 Πηλῷ *luto* obdurati, legisse videtur Cornarius pro πιλοῖς, quam lectionem secutus est Calvus. Πίλοισι legit Erotianus substantive, quamvis πιλοῖς etiam ferri possit adjective, quod πιλωτοῖς exponit Hesych. Erotianum secuti sumus.

109 Σθενὰ quasi σθεναρὰ videtur legisse Cornarius, qui *robur*, dixit.

110 Μετέρχονται *consectantur* legunt quædam exemplaria, idque notat Zuingerus.

111 Pro διαπνεύματα quidam codd. πνεύματα.

112 Ὀμίχλη *nebula*, *caligo*, in quibusdam codd. MSC. reperitur, sed hoc videtur esse interpretatio, explicans, quid dictio ἠὴρ significet.

cis degunt. Quare perpetua fere illis est hyems; æstas vero paucissimis diebus, neque his admodum magna. Planities enim illis sublimis est & nuda, neque montibus cincta, sed sub Ursis ibidem acclivis. Neque feræ illic magnæ, sed quæ sub terra abscondi possint, nascuntur. Hyems enim & terræ nuditas prohibet, quamquam & apricis & tectis locis caret. Nam neque magnæ, neque vehementes sunt anni temporum mutationes, sed similes & parum differentes; unde & formas inter se similes habent. Eodem etiam victu semper & amictu utuntur æstate ac hyeme, aëremque humidum & crassum attrahunt, & aquas ex nivibus & glacie bibunt; nullaque corporis exercitatione utuntur, quum vel corpus, vel animus exerceri nequeat, ubi mutationes non sunt vehementes. Has ob causas eos habitu esse crasso & carnoso necesse est: articulis vero humidis & enervatis, & ventribus valde humidis; omnium tamen maxime inferiore alvo. In hac enim regione, natura, & tempestatum anni constitutione, alvus resiccari nequit; sed propter pinguedinem & carnis glabritiem, forma inter se sunt similes, tum mares maribus, tum fœminæ fœminis. Quum enim anni tempora similiter se habeant, nullæ corruptiones, neque vitia in seminis conformatione contingunt, nisi violento aliquo casu, aut morbo id accidat. Eorum autem humiditatis magnum apponam argumentum. Scythas enim plerosque, ac præcipue Nomadas, humeris, brachiis, primis manuum juncturis, pectoribus, coxendicibus, & lumbis exustis esse comperies, nullam sane aliam ob causam, quam naturæ humiditatem & mollitiem. Nam neque arcus intendere, neque humero jaculum contorquere, ob humiditatem ac mollitiem possunt. Quum vero uruntur, ex articulis humoris copia resiccatur, eorumque corpora validiora, habitiora, & firmioribus articulis redduntur; fluida vero fiunt & lata: primum quidem quod fasciis non involvantur, quemadmodum fieri solet in

[113] νοτίοισι διαιτεῦνται. Ὥςε τὸν μὲν χειμῶνα ἀεὶ εἶναι. Τὸ δὲ θέρος ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίην. Μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ, καὶ οὐκ ἐςεφάνωνται
96 ὄρεσιν, ἀλλ' [114] ἀνάντη ὑπὸ τῶν ἄρκτων αὐτόθι. Καὶ τὰ θηρία οὐ γίγνεται μεγάλα, ἀλλ' οἷά τέ ἐςιν ὑπὸ γῆν σκεπάζεσθαι. Ὁ γὰρ χειμὼν κωλύει, καὶ τῆς γῆς ἡ ψιλότης, καί τοι οὐκ ἔςιν ἀλέα, οὐδὲ σκέπη. Αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι, οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι, καὶ ὀλίγον μεταβάλλουσαι. διότι καὶ τὰ εἴδεα ὅμοια αὐτὰ ἑωϋτέοισιν εἰσί. Σίτῳ τε [115] χρέονται ἀεὶ ὁμοίως, ἐσθῆτί τε τῇ αὐτέῃ, καὶ θέρεος, καὶ χειμῶνος· τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχὺν, τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ παγετῶν, τοῦ τε ταλαιπώρου ἀπεόντος· οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ τὴν ψυχὴν, ὅκου μεταβολαὶ μὴ γίγνονται ἰσχυραί. Διὰ ταύτας τὰς ἀνάγκας, τὰ εἴδεα αὐτῶν παχέα ἐςὶ καὶ σαρκώδεα·
97 καὶ [116] τὰ ἄρθρα ὑγρὰ, καὶ ἄτονα· αἵ τε κοιλίαι ὑγρόταται· [117] πασέων δὲ κοιλιῶν αἱ κάτω. Οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ, καὶ φύσει, καὶ ὥρης καταςάσει· ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα, τάτε εἴδεα ἔοικεν ἀλλήλοισι, τάτε ἄρσενα τοῖσιν ἄρσεσιν, καὶ τὰ θήλεα τοῖσι θήλεσι. Τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων, φθοραὶ οὐκ ἐγγίγνονται,
98 οὐδὲ κακώσιες ἐν τῇ τοῦ [118] γόνου [119] ξυμπήξει, ἢν μή τινος ἀνάγκης βιαίου [120] τύχῃ, ἢ νούσου. Μέγα δὲ τεκμήριον ἐς τὴν 79
ὑγρότητα παρέξομαι. Σκυθέων γὰρ τοὺς πολλοὺς, ἅπαντας (δὲ) ὅσοι Νομάδες, εὑρήσεις κεκαυμένους τούς τε ὤμους, καὶ τοὺς βραχίονας, καὶ τοὺς καρποὺς τῶν χειρέων, καὶ τὰ ςήθεα, καὶ τὰ ἰσχία, καὶ τὴν ὀσφῦν, δι' ἄλλ' οὐδὲν, ἢ διὰ τὴν ὑγρότητα τῆς φύσιος, καὶ τὴν μαλακίην. Οὐ γὰρ δύνανται, οὔτε τοῖσι τόξοισι ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπλειν τῷ ὤμῳ, ὑπὸ ὑγρότητος, καὶ ἀτονίης. Ὁκόταν δὲ καυθῶσιν, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ, καὶ εὐτονώτερα μᾶλλον γίνεται, καὶ τροφιμώτερα, καὶ ἠρθρωμένα τὰ σώματα
99 μᾶλλον· [121] ῥοικὰ δὲ γίγνεται καὶ πλατέα· πρῶτον μὲν, ὅτι οὐ σπαργανοῦνται, ὥσπερ

Variæ Lectiones.

113 Quidam codd. ὑγροῖς legunt; sed hoc videtur Scholion esse primæ lectionis ἐν νότοισι.

114 Ἀνάντης quidam codd. alii ἡ αὐτὴ, Ald. vero exemplar. ἡ ἀντὴ. Alii ἀνάιδη vitiose tamen legunt.

115 Χρεόμεναι legunt Aldina exemplaria pro χρέονται.

116 Sic legunt omnia exemplaria: ἄναρθρα tamen legendum esse mavult Foesius, ut præ humiditate ac crassitie minime articuli & juncturæ conspiciantur, aut appareant, quod antea dixit ἄρθρον κατάδηλον οὐδέν. Quidam νωθρὰ legunt ad τὰ εἴδεα referentes.

117 Καὶ πασέων κοιλιῶν αἱ κάτω, *& omnium cavitatum, inferiores maxime*, Septalius legit, πασέων δὲ κοιλιῶν. Lindenus.

118 Calvus ἐν τῇ τοῦ σώματος ξυμπήξει, id est, *cum corpus conformatur, compingiturve* legit. Vitiose quædam exemplaria τόνου pro γόνου legunt.

119 Ξυμπήξει aut ξυμμίξει, *compactionem* aut *mixturam* legisse videtur Cornarius, aut utramque lectionem adhibuisse. Calv. ἐν τῇ τοῦ σώματος ξυμπήξει legit.

120 Βίῃ τύχῃ ἂν legendum censet Foes. βιαίου τύχης editi cod.

121 Ῥοικὰ, καμπύλα *incurva* legisse videtur Galenus, quam lectionem secutus est Calvus, *distorta & incurva* exponens; est enim ῥοικὸν τὸ εἶναι νεῦον καὶ ςραβὸν, ὃ καὶ ῥοιβὸν λέγεται. idque apud Ionas significare annotatur ex Corintho; cujus significationem amplissimam dedit Foesius in voce Ῥαιβός.

100 περ ἐν Αἰγύπτῳ, [122] οὐδὲ νομίζουσιν διὰ
τὴν ἱππασίην, ὅκως ἂν εὔεδροι ἐῶσιν· ἔπειτα δὲ διὰ τὴν ἕδρην. Τά τε γὰρ ἄρσενα ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηται ἐν τῇ ἁμάξῃ, καὶ βραχὺ τῇ βαδίσει χρέονται, διὰ τὰς μεταναστάσιας, καὶ περιελάσιας. Τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκὰ εἶναι τὰ εἴδεα.
101 Πυῤῥόν δὲ τὸ γένος ἐστὶν τὸ Σκυθικὸν διὰ
τὸ ψῦχος, οὐκ ἐπιγενομένου ὀξέος τοῦ ἡλίου· ὑπὸ δὲ τοῦ ψύχεος, ἡ λευκότης ἐπικαίεται, καὶ γίγνεται πυῤῥή. Πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην. Οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίγνεται πολλὴ διὰ τὴν ὑγρότητα τῆς φύσιος, καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ τὴν ψυχρότητα· ἀπὸ τῶν ἥκιστα εἰκὸς εἶναι ἄνδρα οἷόν τε λαγνεύειν· καὶ ἔτι ὑπὸ τῶν ἵππων ἀεὶ κοπτόμενοι, ἀσθενεῖς γίγνονται εἰς τὴν μίξιν. Τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίγνονται· τῇσι δὲ γυναιξὶν, ἥτε πιότης τῆς σαρκὸς, καὶ ὑγρότης. Οὐ γὰρ δύνανται ἔτι συναρπάζειν αἱ μῆτραι τὸν γόνον. Οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτέῃσιν γίγνεται, ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον, καὶ διὰ χρόνου· τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται, καὶ οὐχ ὑποδέχεται τὸν γόνον. Αὗταί τε ἀταλαίπωροι καὶ πιειραὶ, καὶ αἱ κοιλίαι ψυχραὶ, καὶ μαλακαί· καὶ ὑπὸ τουτέων τῶν ἀναγκαίων οὐ πολύγονόν ἐστιν τὸ γένος τὸ Σκυθικόν. Μέγα δὲ τεκμή-
102 ῥιον αἱ οἰκέτιδες ποιέουσιν· οὐ γὰρ
[123] φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι, καὶ ἐν γαστρὶ ἴσχουσι διὰ τὴν ταλαιπωρίην, καὶ ἰσχνότητα τῆς σαρκός.

100 Ægypto, neque vero id curant equitatio-
nis causa, ut ad equitandum meliores reddantur; deinde vero ob vitam sedentariam. Ex his namque mares, quoad equis vehi nequeunt, longo tempore in curribus sedent, parumque propter locorum transmutationes & peragrationes inambulant. At mulieres stupendum in modum
101 habitu sunt corporis fluxo. Gens autem
Scythica propter frigus fulvo est colore, quum ad eos sol vehemens non accedat; a frigore autem albedo exuritur, fitque fulva. Fœcunda vero ejusmodi natura esse non potest. Neque enim viri multa coëundi cupiditate tenentur ob corporis humiditatem, ventrisque mollitiem, & frigiditatem; ex quibus viros quam minime venerem exercere posse par est: eo accedit, quod perpetua equitatione fracti, ad coitum imbecilles redduntur. Atque eæ quidem in viris causæ sunt (infœcunditatis;) in mulieribus vero, carnis pinguedo, & humiditas. Neque enim uteri genitale semen ad se rapere queunt. Neque eis ut decet menstrua purgatio, sed parcior & longiore tempore contingit; ipsumque uteri os præ pinguedine concluditur, semenque genitale haud suscipit. Ipsæque nulla corporis exercitatione utuntur, & præpingues sunt, earumque ventres frigidi & molles: ex quibus necessario consequitur non admodum fœcundam esse Scy-
102 tharum gentem. Cujus rei magnam conje-
cturam præbent famulæ, quæ quum virorum congressum non appetant; tamen propter exercitationem & carnis gracillitatem concipiunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Διατὶ εὐνουχίαι γίγνονται οἱ πλεῖστοι ἐν Σκύθεσιν, καὶ πρὸς τὸ λαγνεύειν ἀκικστοί εἰσι.

Ἔτι τε πρὸς τουτέοισιν [124] εὐνουχίαι γίγνονται οἱ πλεῖστοι ἐν Σκύθῃσι, καὶ γυναικεῖα ἐργάζονται, καὶ ὡς αἱ γυναῖκες διαλέ-

CAPUT XI.

Cur multi Scytharum Eunuchi, ac ad coitum impotentes.

AD hæc quoque plerique Scythæ eunuchi fiunt, & munia muliebria obeunt, ac velut mulieres factitant & lo-

 quuntur,

Variæ Lectiones.

122 Οὐδὲ νομίζουσι, διὰ τὴν ἱππασίην, ὅκως ἂν ἔνεδροι ἔωσι legunt exemplaria: ubi notandum est interpretes fuisse ancipites, quid sibi vellet illis primis verbis οὐδὲ νομίζουσι; cum tamen referretur ad proxime dicta, & esset intelligendum θεὸν σταργανοῦσθαι. — Cum etiam non intelligerent, quid nomine ἔνεδρος sibi vellet Hippocrat. male interpretati sunt: cum alioqui loco ἔνεδρος legi debeat εὔεδρος; facilis autem fuit lapsus mutata solum litera ν in υ, quod facile fieri potest ob maximam, quam habent inter se, similitudinem. vid. Septal. comment. pag. 467. Foesius vero aliam secutus est notionem. vid. ejus Oecon. voce Ἔνεδρ.

123 Χαίρουσι *gaudent* pro φθάνουσι *appetunt*, legisse videtur Calvus, & Cornarius sublata negatione οὐ.

124 Hoc loco Hipp. non usitato nomine utitur, quod est εὐνοῦχος; sed alio apud ipsum fere solum, & Aristotelem usurpato εὐνουχίας, quod potest esse adjectivum, & latine esse *Spadonius*: aut certe substantivum est, & aliquo modo a nomine εὐνοῦχος distinguitur. Quod insinuasse videtur Aristot. in Problem. cum dicit: οἷον συμβαίνει τοῖς εὐνούχοις, καὶ εὐνουχίαις: unde in veteri Lexico Græco Latino traditum est εὐνουχίαν testes habere posse, sed inutiles, quod effœminatus sit: εὐνοῦχον vero *coëratum* & *castratum* intelligi. vid. Septal. comment. pag. 473.

quuntur, vocanturque hi evirati. Ac regionis quidem incolæ causam Deo acceptam referunt, & hujusmodi homines reverentur & colunt, sibi quique timentes, ne quid tale contingat. At mea quidem sententia hi omnes affectus divini sunt, ut & reliqui omnes; nullusque altero divinior aut humanior est, sed divini omnes; quum horum quisque suam naturam habeat, neque quicquam citra naturam fiat: & quomodo hic affectus mihi contingere videatur, enarrabo. Ex equitatione eos prehendunt diuturnæ ex defluxione in articulos affectiones; nimirum quum semper pendeant ex equis eorum pedes. Deinde qui vehementer ægrotant, claudicant, iisque coxendices contrahuntur. Hac autem ratione sibi medentur: a principio morbi utramque venam post aures incidunt; quumque sanguis effluxerit, præ imbellicitate somno corripiuntur & obdormiscunt; deinde aliqui quidem sani expergiscuntur, quidam vero minime. Ac mihi quidem videntur hac curatione se ipsos perdere. Juxta aures enim venæ sunt, quas si quis incidat, ii, quibus secantur, steriles fiunt. Has igitur venas mihi secare videntur. Postea vero ubi ad uxorem accedunt, neque cum iis rem habere possunt, primum nil suspicantur, sed quiescunt; quum autem bis, ter, aut sæpius id tentantes, nihil profecerint, Deum, in quem causam conferunt, se offendisse existimantes, muliebri stola amicti, suam ignaviam accusant; & cum mulieribus victitantes, earum opera tractant. Qua affectione tentantur opulentissimi quique Scythæ; minime vero infimi, sed generosissimi, & qui ad maximas opes per equitationem ascenderunt; pauperes autem, quia non equitant, minus. Cæterum oportebat, si hæc affectio cæteris divinior esset, ut non generosissimos & opulentissimos Scythas solos, sed omnes ex æquo invaderet; idque potius eos, qui paucas opes possident, neque honorem exhibent, si modo Dii hominum cultu gaudent, & pro eo his beneficia conferunt. Divites enim, quum opibus abundent, Diis sæpe sacra facere, & donaria

103 γονται τε ὁμοίως, καλεῦνταί τε οἱ τοιοῦτοι [125] ἀνανδριεῖς. Οἱ μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι Θεῷ, καὶ σέβονται τουτέους τοὺς ἀνθρώπους, καὶ προσκυνέουσι, δεδοικότες περί τε ἑωυτέων ἕκαστοι. Ἐμοὶ δὲ καὶ αὐτέῳ δοκεῖ ταῦτα τὰ πάθεα θεῖα εἶναι, καὶ τἄλλα πάντα· καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον, οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα θεῖα· ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται· καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκέει γίγνεσθαι, φράσω. Ὑπὸ τῆς ἱπ-
104 πασίης αὐτέους " [126] κέδματα λαμβάνει, ἅτε αἰεὶ [127] κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖς ποσίν. Ἔπειτα ἀποχωλοῦνται, καὶ
105 [128] ἑλκοῦνται τὰ ἰσχία," οἳ ἂν σφόδρα νοσήσωσιν. Ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε· ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέρην φλέβα τάμνουσιν· ὅταν δὲ ἀποῤῥυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείας, καὶ καθεύδουσιν· ἔπειτα ἀνεγείρονται, οἱ μέν τινες ὑγιεῖς ἐόντες, οἱ δ' οὔ. Ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσει διαφθείρε-
106 σθαι. Εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ, ἄγονοι γίνονται οἱ ἐπιτμηθέντες. Ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. Οἱ δὲ μετὰ ταῦτα, ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκα, καὶ μὴ οἷοί τε ὦσι χρῆσθαι σφίσιν αὐτοῖς, τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην ἔχουσιν· ὁκόταν δὲ δὶς, καὶ τρὶς, καὶ πλεονάκις αὐτέοισι πειρωμένοισιν, μηδὲν ἀλλοιότερον ἀποβαίνει, νομίσαντές τι ἡμαρτηκέναι τῷ Θεῷ, ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην καταγνόντες ἑωυτέων ἀνανδρείην, γυναικίζουσί τε, καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν, ἃ καὶ ἐκεῖναι. Τοῦτο δὲ πάσχουσιν Σκυθέων οἱ πλούσιοι, οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ εὐγενέστατοι, καὶ ἰσχὺν πλείστην κεκτημένοι διὰ τὴν ἱππασίην· οἱ δὲ πένητες, ἧσσον· οὐ γὰρ ἱππάζονται. Καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστὶν, οὐ τοῖς γενναιοτάτοις τῶν Σκυθέων, καὶ τοῖς πλουσιωτάτοις προσπίπτειν μούνοις, ἀλλὰ τοῖσιν ἅπασιν ὁμοίως· καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ τιμωμένοισιν ἤδη, εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδοῦσιν. Εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖς θεοῖς, καὶ ἀνατιθέναι

VARIÆ LECTIONES.

125 Ἐνάρεας pro ἀνανδριεῖς ex Herodoto in Thalia legit vult Mercurial. libr. III. Var. lect. cap. 7. quod Scytharum vates Androgynos faciat Herodotus, & ἐνάρεας dici scribat. Ἀνδριεῖς & σέβονται vitiose legunt Asulana exempl.

126 Κέδματα exponit Galenus in Exegesi, τὰς ἐκ ῥεύματος χρονίους διαθέσεις, ἤτοι περὶ τὰ ἄρθρα σύμπαντα, ἢ ἐξαιρέτως περὶ τὰ κατ' ἰσχίον, *diuturnos ex defluxione affectus, qui scilicet circa articulos omnes, aut præcipue circa coxam fiunt.* Erotianus autem κεδματώδεα exponit τὰς χρονίας περὶ τὰ ἄρθρα διαθέσεις *diuturnos circa articulos affectus.* Suid. etiam κέδματα exponit τὰ χρόνια ἀλγήματα *diuturnos* (articulorum) *dolores.* Doctissimus D. W. Trillerus in suis observat. criticis hanc vocem derivat ab Hebr. קדם Kédhem, *antiquum, priscum, inveteratum*, unde קדומים Kedhomim, *antiquitates.* Hesych. enim κέδματα illa exponit per χρονιωτέρας διαθέσεις. Plura vid. in Foes. Oec. voce Κέδματα.

127 Sic legimus cum Foesio; vulgata exemplaria κρεμαμένων *pendentibus*, scilicet ex equis eorum pedibus.

128 Vitium hic esse manifestum faciunt Aldina exemplaria, quæ asteriscum ponunt: & pro ἕλκονται cum Æmil. Porto ἑλκοῦνται reponimus.

τιθέναι ἀναθήματα ὄντων χρημάτων, καὶ τιμᾷν· τοὺς δὲ πένητας, ἧσσον, διὰ τὸ μὴ ἔχειν· ἔπειτα καὶ ἐπιμεμφομένους, ὅτι οὐ διδόασιν χρήματα αὐτέοισιν· ὥστε τῶν τοιουτέων ἁμαρτιῶν τὰς ζημίας, τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον, ἢ τοὺς πλουσίους. Ἀλλὰ γὰρ ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστιν ὁμοίως τοῖς ἄλλοις, γίγνεται δὲ κατὰ φύσιν ἕκαστα. Καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος [129] τοῖσι Σκύθησι γίγνεται, οἵην εἴρηκα. Ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως. Ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων, καὶ ἰσχιάδων, καὶ ποδαγριῶν ἁλίσκονται, καὶ λαγνεύειν κάκιστοί εἰσι. Ταῦτα δὲ τοῖσι Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοί εἰ-
107 σιν ἀνθρώπων, διὰ τὰς προφάσιας, καὶ ὅτι [130] ἀναξυρίδας ἔχουσιν ἀεὶ, καὶ εἰσιν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου, ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος, καὶ τοῦ κόπου ἐπιλαθέσθαι τοῦ ἱμέρου, καὶ τῆς μίξιος, καὶ
108 μηδὲν παρακινεῖν πρότερον, ἢ [131] ἀνανδρωθῆναι. Περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος.

offerre, eosque colere æquum est; pauperes vero minus, quum nihil habeant; qui etiam eos incusant, quod eis opes non suppeditent; ac proinde qui pauca possident, suorum scelerum pœnas luere potius quam divites, videantur. Verum (quemadmodum jam ante dixi) hæc quidem divina sunt, perinde ut reliqua, & secundum naturam quæque accidunt. Et hic quidem morbus, ob eam quam dixi causam, Scythis contingit. Quin & in reliquis hominibus ad eundem se habet modum. Ubi enim plurimum & creberrime homines equitant, ibi plurimi diuturnis in articulos defluxionibus, ischiadibus, & podagris corripiuntur, & ad venerem exercendam ineptissimi sunt. Hæc autem Scythis adsunt, & ob eas causas hominum
107 ineptissimi ad coitum redduntur, tum etiam quod feminalia semper gestant, & in equis magnam temporis partem degunt, ut neque manu tractare pudenda liceat, ac præ frigore & lassitudine voluptatis & coitus obliviscantur, nilque aliud pen-
108 si habent, quam ut virilitate priventur. Hactenus itaque de Scytharum gente.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ φύσιος τοῦ λοιποῦ ἐν τῇ Εὐρώπῃ ἔθνεος κατὰ τὰς τῶν ὡρέων τε, καὶ χωρέων, καὶ τῶν ὑδάτων μεταλλαγάς.

Τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ, διάφορον αὐτὸ ἑωϋτῷ ἐστι, καὶ κατὰ τὸ μέγεθος, καὶ κατὰ τὰς μορφὰς, διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίγνονται καὶ πυκναί· καὶ θάλπη τε ἰσχυρὰ, καὶ χειμῶνες καρτεροί· καὶ ὄμβροι πολλοὶ, καὶ αὖθις αὐχμοὶ πολυχρόνιοι, καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ
109 καὶ παντοδαπαί. Ἀπὸ τουτέων [132] εἰκὸς αἰσθάνεσθαι, καὶ τὴν γένεσιν ἐν τῇ συμπήξει τοῦ [133] γόνου ἄλλην, καὶ μὴ

CAPUT XII.

De reliquorum Europæ populorum natura, pro tempestatum anni, regionum, & aquarum varietate.

At reliquum in Europa hominum genus, tum magnitudine, tum forma, inter se est dissimile, propter magnas & crebras, quæ fiunt, anni temporum mutationes. Habent enim calores vehementes, & hyemes acres, ac imbres multos, rursusque siccitatem diuturnam, & ventos multos, ex quibus multæ & omnis
109 generis mutationes contingunt. Ex his par est aliam percipi generationem in seminis conformatione, neque ex eodem ean-

VARIÆ LECTIONES.

129 Τοῖς Σκύθαις, legunt editi codd. verum nos ut infra legimus.

130 Sic ex melioribus MSC. legimus, pro quo ἀναξηρίδας quædam exemplaria habent. Ἀναξυρὶς *feminale* significat, aut femorale seu subligaculum: *braccam* denotare scribit Eustath. & quod Romani βραχίον dicunt, ἐκ τοῦ ἀνασύρεσθαι mutato σ in ξ. Athenæus libr. III. ex Libr. I. Histor. Herodoti ἀναξύριδας, σκυτίνας ponit, quæ pro *soleis coriaceis* sumi videntur; verum hic *braccas* denotat Scythis proprias; quibus virilia veluti constricta, & coarctata, sui muneris admoneri non possunt. Itaque languida primum redduntur; mox etiam accedente articularium dolorum curatione inepta penitus evirantur: hinc fit, ut Pistores & cæteri, quorum partes pudendæ subligaculis non obteguntur; sed liberius pendent, crassos & bene nutritos habeant testes. Cardanus hunc locum de cauteriorum perustione accepit; quæ lectio inniti videtur superius dictis ab Hipp. ubi mentio fit de Scythis & Nomadibus, quorum plures humeros, brachiaque, exusta habent, manuumque juncturas, pectora, coxas, & lumbos: nullam sane ob rationem, quam ob naturæ humiditatem, & mollitiem, qua præditi sunt. Vide Septal. & Cardan. comment. & Salmasium ad Æl. Lamprid. pag. 977. ubi plura occurrunt de hujus vocis significatione.

131 Sic & Imp. Sambuc. ἀνδρωθῆναι *in virum mutari* vitiose Aldus, & Calvus.

132 Εἰκός ἐστι γίνεσθαι legunt quædam exempl. MSC. quam lectionem in contextum intulit Lindenus. Alia ἐγγίνεσθαι adscribunt.

133 Sic omnes vulgati codd. pro quo Aldus τόνου.

eandem esse, vel æstate vel hyeme, vel pluvioso, vel sicco tempore. Eaque de causa, ut existimo, Europæi magis quam Asiatici forma inter se variant, & per singulas urbes, magnitudine maxime inter se dissident. Plures enim corruptiones circa seminis concretionem contingunt, ubi crebræ fiunt anni temporum mutationes, quam si eædem sint & similes. Eadem autem est de moribus ratio. Ferocia, asperitas, & audacia hujusmodi naturæ innascitur; frequentes enim mentis emotiones morum ferociam inducunt; lenitatem autem & comitatem evellunt. Quocirca eos, qui Europam incolunt, magnanimos magis, quam Asiaticos esse censeo. Rerum siquidem uno se habentium modo æquabilitas socordiam ingenerat; mutatio vero, corpus & animum ad laborem excitat. Quinetiam socordia & quiete ignavia crescit; exercitatione vero & laboribus, magnanimitas. Hanc ob causam bellicosiores sunt, qui Europam incolunt, jam etiam propter leges, quoniam Regum imperio non parent, ut Asiatici. Qui enim Regibus subjiciuntur, eos timidissimos esse necesse est, & velut antea a nobis dictum est, servitute pressi animi, neque lubenter sese temere pro alieno imperio periculis objiciunt. Hi vero suis legibus viventes, sibi non aliis pericula subeunt, & magna animi alacritate volentes ad gravia quæque feruntur, quum pro re gesta victoriæ præmia sint accepturi; ita leges ad animi magnitudinem plurimum faciunt. De Europa igitur & Asia in universum sic se res habet. Sunt autem & in Europa gentes, tum magnitudine, tum forma, tum magnanimitate inter se differentes. Varietatis causæ eædem, quæ supra dictæ sunt, quasque jam manifestius aperiam. Quicunque regionem quidem montanam, asperam, altam, & aquis carentem incolunt, & anni temporum mutatio-

τῷ αὐτῷ τὴν αὐτέην γίγνεσθαι, ἔν τε τῷ
θέρει, καὶ τῷ χειμῶνι· [134] μηδὲ ἐν ἐπομ-
110 βρίῃ, καὶ αὐχμῷ. Διότι τὰ εἴδεα
[135] διηλλάχθη νομίζω, τῶν Εὐρωπαίων
μᾶλλον, ἢ τῶν Ἀσιηνῶν· καὶ τὰ μεγέ-
θη [136] διαφορώτατα αὐτὰ ἑωϋτοῖσιν εἶναι
111 κατὰ πόλιν ἑκάστην. Αἱ γὰρ φθοραὶ
πλείονες ἐγγίγνονται τοῦ [137] γόνου ἐν τῇ
ξυμπήξει, ἐν ταῖς μεταλλαγαῖς τῶν ὡρέων
πυκναῖς ἐούσαις, ἢ ἐν τῇσι παραπλησίῃσι
καὶ ὁμοίῃσιν. Περί τε τῶν ἠθέων ὁ αὐ-
112 τὸς λόγος. Τό, τε ἄγριον, καὶ τὸ [138] ἀ-
μείλικτον, καὶ τὸ θυμοειδὲς ἐν τῇ τοι-
αύτῃ φύσει ἐγγίγνεται· αἱ γὰρ ἐκπλή-
ξιες πυκναὶ γιγνόμεναι, τῆς γνώμης τὴν
ἀγριότητα ἐντιθέασιν· τὸ δὲ ἥμερόν τε,
113 καὶ ἤπιον ἀμαυροῦσιν. [139] Διότι εὐψυ-
χοτέρους νομίζω τοὺς [140] Εὐρώπην οἰκοῦν-
τας εἶναι, ἢ τοὺς τὴν Ἀσίην. Ἐν μὲν
γὰρ τῷ αἰεὶ παραπλησίως, αἱ ῥαθυμίαι
114 ἔνεισιν· ἐν δὲ τῷ [141] μεταβαλλομένῳ,
αἱ ταλαιπωρίαι τῷ σώματι, καὶ τῇ ψυ-
χῇ. Καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης,
ἡ δειλίη αὔξεται· ἀπὸ δὲ τῆς ταλαιπω-
ρίης καὶ τῶν πόνων, αἱ ἀνδρεῖαι. Διὰ
τοῦτό εἰσι μαχιμώτεροι οἱ τὴν Εὐρώπην
οἰκοῦντες, καὶ διὰ τοὺς νόμους, ὅτι οὐ
βασιλεύονται, ὥσπερ οἱ Ἀσιηνοί. Ὅκου
γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτά-
τους εἶναι· εἴρηται δέ μοι καὶ πρότερον,
αἱ γὰρ ψυχαὶ δεδούλωνται, καὶ οὐ βού-
λονται παρακινδυνεύειν ἑκόντες εἰκῆ, ὑπὲρ
ἀλλοτρίης δυνάμιος. Οὗτοι δὲ αὐτόνομοι,
ὑπὲρ αὐτῶν γὰρ τοὺς κινδύνους [142] αἱ-
ρεῦνται, καὶ οὐκ ἄλλων, προθυμεῦνται ἑ-
κόντες, καὶ ἐς τὸ δεινὸν ἔρχονται, τὰ
γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται· οὕ-
τως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐρ-
γάζονται. Τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅ-
παν, οὕτως ἔχει περί τε τῆς Εὐρώπης,
καὶ τῆς Ἀσίης. Ἔνεισι δὲ καὶ ἐν τῇ
Εὐρώπῃ φῦλα διάφορα ἕτερα [143] ἑτέρων,
καὶ τὰ μεγέθεα, καὶ τὰς μορφὰς, καὶ τὰς
ἀνδρείας. Τὰ δὲ διαλλάσσοντα ταῦτά
ἐστιν, ἃ καὶ ἐπὶ τῶν πρότερον εἴρηται,
115 ἔτι δὲ σαφέστερον φράζω. Ὁκόσοι μὲν
χώρην ὀρεινήν τε οἰκοῦσι τρηχείην καὶ
[144] ὑψηλὴν, καὶ ἄνυδρον, καὶ αἱ μεταβο-
λαὶ

VARIÆ LECTIONES.

134 Μηδὲν ἐς ἐπομβρῇ Aldina exemplaria.

135 Διηλλάχθαι νομίζω legunt quædam exemplar. Alia διηλλάχθαι.

136 Διαφορώματα Servin. ex MSC. codd. & pro αὐτὰ ἑωϋτοῖσιν Æmil. Port. legendum esse censet αὐτὰ ἑωϋτῶν.

137 Τόνου *tensionem* pro γόνου Asulana exempl. & Calvus legunt.

138 Sic Imperial. Sambuci cod. quam lectionem notat Lind. Foesius autem ἄμικτον *insociabile*, pro ἀμίαντον *incorruptum* legit, quod notat Æmil. Portus ex Galen. Libro. *Quod animi mores &c.* ubi tamen ἄμικτον vitiose legitur. Zuingerus vero ἀμείλικτον *implacabile* ex quibusdam MSC. codd. legit. vide Septal. comment. pag. 489

139 Καὶ ὅ, τι vitiose in Asulan. exempl. habetur pro Διότι.

140 Hic notat Zuinger. in margine ex quibusdam. MSC. codd. legi τὴν Εὐρώπην.

141 Καταβαλλομένων vitiose legunt Ald. exempl.

142 Αἱρεῦντες quædam MSC. notante Zuingero.

143 Ἑτέρων pro ἑτέροις Æmil. Port. quod recepimus.

144 Impressi codd. Græci. ὑψηλὴν καὶ ἔνυδρον, *altam aquis abundantem*, Cornar. autem ψιλὴν *nudam*, *non sylvosam*, & ἄνυδρον *non aquosam* pro ἔνυδρον *aquis abundantem* legisse videtur, quæ lectio verisimilior nobis visa est. Nam regio montosa & alta, sicca est, & homines in ea regione degentes sunt robustiores, & ferociores.

λαὶ αὐτέοισι γίγνονται τῶν [145] ὡρέων μέ-
γα δὲ διάφοροι· ἐνταῦθα εἰκὸς εἴδεα με-
γάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον, καὶ
τὸ ἀνδρεῖον εὖ πεφυκότα, κ) τό, τε ἄγριον,
καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ
ἥκιστα ἔχουσιν. Ὁκόσοι δὲ κοῖλα χωρία, κ)
λειμακώδεα, κ) πνιγηρὰ (οἰκέουσι) κ) τῶν θερ-
μῶν πνευμάτων πλέον μέρος μετέχουσιν,
ἢ τῶν ψυχρῶν, ὕδασί τε [146] χρέωνται
θερμοῖσιν· οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν
εἴησαν, " [147] οὐδὲ κανονίαι· ἐς [148] εὖρος
40 δὲ πεφυκότες, ' καὶ σαρκώδεες, καὶ μελα-
νότριχες, καὶ αὐτοὶ μέλανες μᾶλλον, ἢ
λευκότεροι· φλεγματίαι δὲ ἧσσον, ἢ χο-
λώδεες. Τό, τε ἀνδρεῖον, καὶ ταλαίπω-
ρον ἐν τῇ ψυχῇ, φύσει μὲν " οὐκ ἂν
[149] ὁμοίως ἐνείη· [150] νόμος δὲ προσγενό-
μενος ἀπεργάσοιτ' ἄν. Καὶ εἰ μὲν ποτα-
μοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵ τινες ἐκ τῆς
χώρης ἐξοχετεύουσιν τό, τε στάσιμον, καὶ
τὸ ὄμβριον· οὗτοι ἂν ὑγιηροί τε εἴησαν κ)
λαμπροί. Εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴη-
σαν, τὰ δὲ ὕδατα [151] κρηναῖά τε καὶ στά-
σιμα πίνοιεν καὶ [152] ὀδώδεα, ἀνάγκη τὰ
45 ' τοιαῦτα " τῆς [153] γαστρὸς ἀτηρέα εἶναι
καὶ σπληνός. Ὁκόσοι δὲ ὑψηλήν τε οἰ-
κέουσι χώρην, " καὶ [154] λείην, καὶ ἀνε-
μώδεα, καὶ ἔνυδρον· εἴη ἂν εἴδεα μεγάλα,
κ) ἑωϋτοῖσι παραπλήσια, καὶ ἀνορθότερα,
κ) ἠπιώτεραι αἱ γνῶμαι. " Ὁκόσοι [155] λε-
πτά τε κ) ἄνυδρα, καὶ ψιλά, " [156] ταῖς δὲ
μεταβολαῖς τὸν ὡρέων οὐκ [157] εὔκρητα ἔχει
ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκλη-
ρά τε εἶναι, καὶ ἔντονα, καὶ ξανθότερα,
81 ἢ μελάντερα· καὶ τὰ ἤθη, " καὶ τὰς
ὀργὰς αὐθάδεάς τε καὶ ἰδιογνώμονας. Ὁ-
κου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν
ὡρέων, καὶ πλεῖστον διάφοροι αὗται. [158] ἑωϋ-

nes habent admodum differentes; illic
(enim) hominum formas magnas esse par
est, tum ad laborem, tum ad robur a na-
tura optime esse comparatas, at agresti-
bus & ferinis moribus ejusmodi naturæ
non parum sunt præditæ. At qui loca
concava, herbosa & æstuosa (habitant,) qui-
que ventis calidis magis quam frigidis per-
flantur, & aquis utuntur calidis: hi ma-
gni quidem esse non possunt, neque re-
116 cti & ventre substricto; in amplam vero
corporis molem a natura producuntur,
corpore sunt carnoso, & capillis nigris,
colore potius nigro quam candido, &
minus pituitosi quam biliosi. At animi
117 robore & laborum tolerantia, non æque
a natura valent; sed accedens vitæ insti-
tutum id efficere potest. Quod si flu-
mina ea in regione sint, quæ stagnantes
& pluvias aquas educant; ii incolumes
degunt, ac nitidi. Sin vero nulla sint
flumina, aquasque fontanas statarias &
male olentes bibant, has ventri & lie-
ni noxias esse necesse est. Qui vero
118 regionem altam, planam, ventis per-
flatam & aquosam incolunt; ii corpo-
119 ris habitu sunt prægrandi, inter se si-
miles, & erecti, & animo mansuetio-
re. At qui macra, & aquis caren-
120 tia & nuda loca tenent, neque tem-
121 peratas habent anni temporum mutatio-
nes; hac in regione homines duro &
robusto corporis habitu esse par est, &
colore flavo potius quam nigro, moribus
122 & animi appetitionibus sibi nimis placen-
tes superbos, & in concepta opinione
permanentes. Ubi enim anni tempo-
rum mutationes, tum crebræ, tum plu-
rimum

VARIÆ LECTIONES.

145 Galenus post ὡρέων sententiam finit; deinde orditur μέγα δὲ διάφοροι ἐνταῦθα κλ.

146 Sic legimus ex Galeno; editi codd. χρέωνται θερμοῖς.

147 Οὐδ' εὐμήκεες *neque proceri* legit Galen. quæ lectio quamvis vera sit, tamen vulgatam retinendam censemus; quare suspicandum est tanquam Glossema adscriptum fuisse ab aliquo Scriptore, ut denotaret, quid sit κανονίαι Hippoc. familiaris vox. Εὐμήκεες Merc. in margine adscribit; quod Glossema etiam esse videtur; vulgatam lectionem sequimur, quamvis κακονίαι legerit Galenus in Exegesi, ut & apud Erotianum, qui Epicli μακρούς καὶ εὐμεγέθεις *longos & proceros* dictos κακονίας scribit. Calvus κοινωνίαι legisse videtur. Foes. in Oecon. voce κανονίαι.

148 Εὐρέες δὲ Galen.

149 Ὁμοίως ἔχειν legunt quædam exemplar. & Galen.

150 Νόμος δὲ προσγενόμενος ὑπεργάσεται Galen. ubi νόμον exprimit τὴν νόμιμον ἐν ἑκάστῃ χώρα τοῦ βίου διαγωγὴν, ἣν δὴ καὶ τροφὴν, καὶ παιδείαν, καὶ συνήθειαν ἐπιχώριον ὀνομάζομεν, *vita institutum, educationem, vivendi modum, mores vernaculos, & patriam consuetudinem vocamus.*

151 Φρεατιαῖα *puteales* aquas legisse videtur Cornarius; Zuingerus autem λιμναῖα *palustres* legit; quam lectionem probat Septalius *lacustres* vertens; nos autem nihil immutavimus, multitudinem codd. secuti, qui uno quasi consensu κρηναῖα legunt.

152 Ἐδώδεα perperam legunt Aldina exemplaria.

153 Πρὸς γαστρὸς ἄτεια εἶναι, καὶ σπλῆνα Ald. exempl. Imper. autem Sambuci cod. pro σπλήνος adscribit σπλῆνοι.

49 ἔλασσον γίνεται. " [73] Διατί δὴ γί-
γνεται, καὶ τοῦτο δῆλον· ὅτι παραυτίκα μὲν τὸ ὕδωρ, ἠέρος πλῆρές ἐστιν· ὁ δὲ ἀὴρ, ὄγκον παρέχεται μέγαν. Ἀπιόντος δὲ τοῦ πνεύματος, ὑπολείπεται τὸ ὕδωρ αὐτό· διὸ δὴ φαίνεται μὲν μικρὸν ἐὸν, ἔστι δὲ ἴσον. Ἄλλο δὲ αὐτῶν τόδε σημεῖον. Κενωθείσης γὰρ παντελῶς τῆς κοιλίης, οὐ τρεῖς ἡμέραι διέλθωσι, καὶ πάλιν πλήρης γίνεται. Τί οὖν ἄρα ἐστὶ τὸ πληρῶσαν, ἀλλ' ἢ τὸ πνεῦμα; τί γὰρ ἂν οὕτως ἄλλο ταχέως ἐξεπλήρωσεν; οὐ
50 γὰρ δή που ποτὸν ἴσως τοσοῦτον " ἐσῆλ-
θεν [74] ἐς τὸ σῶμα, καὶ μὴν οὐδὲ σάρκες ὑπάρχουσιν αἴτιαι [75] ἀποτακησόμεναι· λείπε-

VARIÆ LECTIONES.

67 Τοῦ σώματος legit cod. Med. & pro αἷμα, πνεῦμα legisse aut subintellexisse videtur Zuingerus.

68 Sic legunt meliora exemplaria, etsi βαρυνθῇ leg. Asul. exempl. & Vatic. βρίσει Imper. Sambuc. Erotian. in Onomastico βρίσῃ exponit βαρύνῃ, *onerat.*

69 Τὰ δὲ ῥήγματα πάντα γίνεται, *at vero ruptiones omnes fiunt*, quædam legunt exemplar.

70 Τοῦτον Cornar. leg.

71 Ἕπεται δὲ τῇσι φύσησιν ὑγρασίη, ᾗ τὴν κλ. emendatius legimus ex Servin. codic. pro vulgo ἕπεται δὲ τῇσι φύσησιν ὑγρασίη, ἧς τὴν.

72 Ἐκλύθησαν Imp. Sambuc. cod.

73 Διὰ τί οὖν γίγνεται Vatic. & Ald. exempl.

74 Καὶ ἐς τὸ σῶμα legunt exempl. Reg. Vatic. & Medic. quam lectionem secutus est Calv.

75 Asulana exemplaria hic asteriscum ponunt denotantem vitiatam esse lectionem. Ibidem οὐδεὶς non habetur in codice Mediceo.

λείπεται γὰρ ὀστέα, καὶ νεῦρα, καὶ ἶνες, ἀφ' ὧν οὐδενὸς οὐδεμίη δύναιτ' ἂν
121 αὔξησις ὕδατος γεγενῆσθαι. Τὸ μὲν οὖν αἴτιον τοῦ ὕδρωπος ἤδη εἴρηται. Αἱ δὲ ἀποπληξίαι γίνονται καὶ αὗται διὰ τὰς φύσας· ὅταν γὰρ αἱ φῦσαι, ψυχραὶ οὖσαι καὶ πολλαὶ, διαδύνωσι, καὶ ἐμφυσήσωσιν ἐς τὰς σάρκας· ἀναίσθητα γὰρ ταῦτα γίνεται τοῦ σώματος. Ἢν μὲν οὖν πολλαὶ φῦσαι ἐν ὅλῳ τῷ σώματι διατρέχωσιν, ὅλος ὁ ἄνθρωπος ἀπόπληκτος γίνεται· ἢν δὲ ἐν μέρει τινὶ, τοῦτο τὸ μέρος. Καὶ, ἢν μὲν οὖν ἀπέλθωσιν αὗται, παύεται ἡ νοῦσος· ἢν δὲ παραμένωσι, παραμένει. Ὅτι δὲ ταῦτα οὕτως ἔχει, χασμῶνται συνεχῶς.

quum ossa supersint, & nervi, & fibræ, ex quibus haud quidem tanta aquæ copia provenire potest: atque hydropis quidem causa jam dicta est. Fiunt quoque apoplexiæ, eæque sanguinis flatulenti culpa: nimirum quando is frigidior & copiosior existens in carnes se insinuaverit, easque inflarit; stupidæ enim fiunt istæ corporis partes. Siquidem igitur plurimum sanguinis flatulenti totum cerebri corpus permeaverit, totus homo fit attonitus: si vero partem aliquam, pars illa. Atque ubi quidem flatus illi disscesserint, morbus cessat: ubi vero permanserint, permanet (& morbus.) Hæc autem ita se habere continuæ oscitationes indicant.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Διὰ τὰς φύσας γίνεσθαι τὴν ἱερὴν νόσον· τὰ αὐτῆς αἴτια, καὶ συμπτώματα, καὶ διάστασις. Τὸ ἐν καθεστηκότι σχήματι αἷμα, ἐς φρόνησιν ξυμβάλλειν· ἐξαλλάσσοντος δὲ αὐτοῦ, μεταπίπτειν καὶ τὸ φρόνημα, καὶ τὴν μέθην τε, καὶ τὰ ἐνύπνια, καὶ τὴν τοῦ σώματος διαστροφὴν ποιέειν.

CAPUT VII.

A flatibus morbum sacrum procreari: ejus causæ, symptomata, discessio. Sanguinem commoderatum prudentiam efficere; perturbatum vero imprudentiam, ebrietatem, insomnia, corporis subversionem.

Δοκεῖ δέ μοι καὶ τὴν ἱερὴν καλεομένην νοῦσον τοῦτο εἶναι τὸ παρεχόμενον. Οἷσι δὲ λόγοισιν ἐμαυτὸν ἔπεισα, τούτοισιν αὐτέοισι καὶ τοὺς ἀκούοντας πείσειν πειράσομαι. Ἡγέομαι δὲ ἔμπροσθεν, μηδὲν εἶναι μᾶλλον τῶν ἐν τῷ σώματι ξυμβαλλομένων ἐς φρόνησιν ἂν, ἢ τὸ αἷμα. Τοῦτο δὲ, ὅταν ἐν τῷ καθεστηκότι σχήματι μένῃ, μένει καὶ ἡ φρόνησις· ἐξαλλάσσοντος δὲ τοῦ αἵματος, [76] μεταπίπτει καὶ τὸ φρόνημα. Ὅτι δὲ ταῦθ' ὧδ' ἔχει, πολλὰ τὰ μαρτυρέοντα. Πρῶτον μὲν, ὅπερ ἅπασι ζώοισι κοινόν ἐστιν, ὁ ὕπνος, οὗτος μαρτυρεῖ τοῖσιν εἰρημένοισιν.
51 Ὅταν γὰρ ἐπέλθῃ τῷ σώματι ὁ ὕπνος, τότε τὸ αἷμα ψύχεται· φύσει γὰρ πέφυκεν ὁ ὕπνος ψύχειν. Ψυχθέντος δὲ τοῦ αἵματος, νωθρότεραι γίνονται αἱ διέξοδοι. Δῆλον δέ· ῥέπει γὰρ τὰ σώματα, καὶ βαρύνεται (πάντα γὰρ τὰ βαρέα πέφυκεν ἐς βυθὸν φέρεσθαι)
52 καὶ τὰ ὄμματα [77] κλείεται, καὶ ἡ φρόνησις ἀλλοιοῦ-

Ac mea quidem opinione, hi (flatus) etiam morbum sacrum vulgo dictum producere videntur. Quibus autem rationibus adductus sum, iisdem etiam auditores persuadere conabor. Imprimis autem in animum induco, ex iis, quæ in corpore insunt, nihil magis ad prudentiam conferre, quam sanguinem. Is namque ubi in constanti figura persistit, prudentia etiam constat: permutato vero sanguine, simul quoque prudentia concidit. Quod hæc autem ita se habeant, multa sunt testimonia. Ac primum quidem somnus, qui animantibus omnibus communis est, quæ dicta sunt confirmat. Somnus enim ubi corpus corripuerit, tum sanguis refrigeratur; nam natura somnus refrigerare solet. Perfrigerato autem sanguine, languidiores fiunt ejus meatus. Id vero inde fit manifestum, quod corpora sua gravitate inclinentur (quum gravia omnia ad imum ferri natura soleant) & oculi clauduntur, & prudentia permutatur,

Variæ Lectiones.

76 Pro μεταπίπτει cod. Med. ἐξαλλάσσει legit. Infra τῷ σώματι τοίσιμα pro τῷ σώματι ὁ ὕπνος legunt Aldin. exemplaria.

77 Κλείεται Servin. cod. pro καίεται, quod habetur in editis exempl. συγκλείεται Membranæ autem Regiæ legunt: nos priorem lectionem secuti sumus.

tatur: opiniones etiam diversæ mentem occupant, quæ profecto insomnia appellantur. Rursus vero in temulentis per ebrietatem aucto repente sanguine, percelluntur animi, animorumque cogitationes, & malorum præsentium obliti, futurorum bonorum optimam spem concipiunt. Multa etiam ejusmodi commemorare possem, in quibus sanguinis permutationes animi prudentiam immutant. Perturbato igitur in totum sanguine, prorsus quoque prudentia deperit.
53 Affectus enim, & cognitiones a consuetudine contingunt. Quum vero a solita consuetudine discedimus, prudentia nobis tollitur. At sacrum morbum sic fieri censeo; tum cum multus spiritus per omne corpus omni sanguini permixtus fuerit, multæ obstructiones fiunt multifariam per venas. Quum igitur in crassiores & sanguine abundantes venas copiosus aër irruit, progressusque immoratur, sanguinis transitus inhibetur;
54 atque hic quidem sistitur, ibi vero tardius permeat, alibi autem citius. Ex qua sane per corpus pervadentis sanguinis inæqualitate, omnigenæ inæqualitates contingunt. Totum enim corpus undique contrahitur, & corporis partes perturbantur,
55 sanguine ipso tumultui, ac perturbationi subveniente: & ex sanguinis perversione,
56 variæ etiam undique corporis perversiones oriuntur. Sub id vero tempus, nihil omnino sentiunt, neque quæ dicuntur audiunt, neque quæ fiunt vident, neque ullos dolores sentiunt. Sic enim conturbatus aër, simul quoque sanguinem conturbavit & infecit: quin etiam spumæ per os non sine causa effluunt; per jugulares enim venas aër subiens, penetrat quidem ipse, secumque id quod in sanguine est tenuissimum subvehit; humidum vero illius permixtione albescit. Aër enim purus, per tenues membranas pellucidus apparet; eamque sane ob causam spumæ omnes albæ conspiciuntur. Qui

ται· δόξαι δὲ τινες ἕτεραι ἐνδιατρίβουσιν, ἃ δὴ ἐνύπνια καλέονται. Πάλιν ἐν τῇσι μέθῃσι, πλέονος ἐξαίφνης γενομένου τοῦ αἵματος, μεταπίπ]ουσιν αἱ ψυχαὶ, καὶ τὰ ἐν τῇσι ψυχῇσι φρονήματα, καὶ γίνονται τῶν μὲν ὄντων κακῶν ἐπιλήσμονες, τῶν δὲ μελλόντων εὐέλπιδες ἀγαθῶν. Ἔχοιμοι δ' ἂν πολλὰ τοιαῦτα εἰπεῖν, ἐν οἷς αἱ τοῦ αἵματος ἐξαλλαγαὶ τὴν φρόνησιν ἐξαλλάσσουσιν. Ἢν μὲν οὖν παντελῶς ἅπαν ἀναταραχθῇ τὸ αἷμα, παντελῶς ἡ φρόνησις ἐξαπόλλυται.
53 Τὰ γὰρ [78] παθήματα, καὶ τὰ ἀναγνωρίσματα, ἐθίσματά ἐστιν. Ὅταν δὲ τοῦ εἰωθότος ἔθεος [79] μεταςαίημεν, ἀναίρεται ἡμῖν ἡ φρόνησις. Φημὶ δὲ τὴν ἱερὴν νοῦσον ὧδε γίνεσθαι· ὅταν πολὺ πνεῦμα κατὰ πᾶν τὸ σῶμα παντὶ τῷ αἵματι μιχθῇ, πολλὰ ἐμφράγματα γίνονται πολλαχῇ ἀνὰ τὰς φλέβας. Ἐπειδὰν οὖν ἐς τὰς παχείας, καὶ πολυαίμους τῶν φλεβῶν πολὺς ἀὴρ βρίσῃ, βρίσας δὲ μένῃ, κωλύεται τὸ αἷμα διεξιέναι·
54 τῇ μὲν οὖν [80] ἕςηκε, τῇ δὲ νωθρῶς [81] διεξέρχεται, τῇ δὲ [82] θᾶσσον. Ἀνομοίης δὲ τῆς πορείης τοῦ αἵματος διὰ τοῦ σώματος γενομένης, παντοῖαι ἀνομοιότητες. Πᾶν γὰρ τὸ σῶμα πανταχόθεν ἕλκεται, καὶ τετάρακται τὰ μέρη
55 [83] τοῦ σώματος, ὑπηρετοῦντος τῷ θορύβῳ, καὶ ταράχῳ τοῦ αἵματος·
56 ὑπὸ δὲ [84] τῆς διαςροφῆς τοῦ αἵματος, αἱ διαςροφαὶ τοῦ σώματος παντοίως γίνονται. Κατὰ δὲ τοῦτον τὸν καιρὸν, ἀναίσθητοι πάντων εἰσὶ, κωφοί τε τῶν λεγομένων, καὶ τυφλοὶ τῶν γινομένων, ἀνάλγητοί τε πρὸς τοὺς πόνους. Οὕτω γὰρ ὁ ἀὴρ ταραχθεὶς, ἀνετάραξε, καὶ τὸ αἷμα, καὶ ἐμίηνε· καὶ ἀφροὶ διὰ τοῦ ςόματος ἀνατρέχουσιν εἰκότως· διὰ γὰρ τῶν σφαγιτίδων φλεβῶν διαδύνων ὁ ἀὴρ, ἔρχεται μὲν αὐτὸς, ἀνάγει δὲ μεθ' ὠυτοῦ τὸ λεπτότατον τοῦ αἵματος· τὸ δὲ ὑγρὸν τὸ περιμισγόμενον λευκοῦται. Διὰ λεπ]ῶν γὰρ ὑμένων καθαρὸς ἐὼν ὁ ἀὴρ, διαφαίνεται· διὸ δὴ λευκοὶ φαίνονται πάντες οἱ ἀφροί. [85] Πότε

VARIÆ LECTIONES.

78 *Μαθήματα scientia* exempl. Reg. verum prior sententia stare potest.

79 Sic Æmil. Port. vulgo μεταςαίημεν, fortasse μεταςέωμεν fuerat Ionico more.

80 Ἐνέςηκε legunt Vatic. membranæ, & Ald. exemplaria.

81 Ἐξέρχεται legit Servin. ex MSC. verum prior lectio magis arridet.

82 Pro θᾶσσον, Cornarius μᾶλλον legisse videtur.

83 Hic locus aliter apud Cornarium distinguitur, & τοῦ σώματος ὑπηρετοῦντος τῷ θορύβῳ καὶ ταράχῳ τοῦ αἵματος, id est: *nimirum corpore partes suas ad tumultum ac conturbationem sanguinis subministrante* legitur. Quæ est lectio Ald. & Vatic. exemplar. Membranæ Regiæ, τὰ ὑπηρετοῦντα habent. ὑπηρετοῦντα τὰ μέρη *suas partes corporis conturbationi sanguinis subveniant* legit Goupylus.


84 Τῆς ταραχῆς *turbatione* Membranæ Reg.

85 Πότε μὲν οὖν exempl. habent omnia. πότε tantum habetur in cod. Servin. ibidem καὶ τοῦ παρεόντος χειμῶνος Cornarius vertit *maxime accedente hyeme*, quasi maxime omnium solvantur affecti morbo sacro eo tempore; quod ut est maxime falsum, sic etiam a verborum serie non parum abest. Itaque multo melius Calvus τοῦ χειμῶνος *molestiam* interpretatus erat, quamvis proprie ea dictio *fluctuationem & turbationem* denotet, ἀπὸ τοῦ χειμάζεσθαι; quando scilicet naves a ventis in mari agitatæ, magno periculo huc illuc impelluntur, & fluctuant. *Mercurialis* in notis. Infra σφαγίδων pro σφαγιτίδων legit cod. Med.

τε μὲν οὖν παύονται τῆς νούσου, καὶ 57
τοῦ παρεόντος χειμῶνος, οἱ ὑπὸ τοῦ
νουσήματος ἁλισκόμενοι, ἐγὼ φράσω. Ὁ-
κόταν γυμνασθὲν ὑπὸ τῶν πόνων τὸ σῶμα
θερμανθῇ, θερμαίνεται καὶ τὸ αἷμα·
τὸ δὲ αἷμα θερμανθὲν, ἐξεθέρμανε τὰς
φύσας. Αὗται δὲ [86] θερμανθεῖσαι 58
διαλύονται, καὶ διαλύουσι τὴν ξύστασιν
τοῦ αἵματος· αἱ μὲν οὖν ἐξελθοῦσαι με-
τὰ τοῦ πνεύματος, αἱ δὲ μετὰ τοῦ
φλέγματος. Ἀποζέσαντος δὲ τοῦ ἀ-
φροῦ, καὶ καταστάντος τοῦ αἵματος, καὶ
γαλήνης ἐν τῷ σώματι [87] γενομέ-
νης, πέπαυται τὸ νούσημα. Φαίνονται
οὖν αἱ φῦσαι δὴ [88] πάντων τουτέων 59
(νουσημάτων) πολυτροπώτεραι αἰτίαι οὖ-
σαι· τὰ δ' ἄλλα πάντα, συναίτια καὶ
μεταίτια. Τὸ δὲ αἴτιον τῶν νούσων
ἐὸν, τοῦτο ἐπιδέδεικταί μοι, ὑπε- 60
σχόμην δὲ τὸ αἴτιον [89] τῶν νουσημάτων
φράσαι. Ἐπέδειξα δὲ τὸ πνεῦμα, καὶ
ἐν τοῖσιν ἄλλοισι πρήγμασι δυναστεῦον,
καὶ ἐν τοῖσι σώμασι τῶν ζώων. Ἤγα-
γον δὲ τὸν λόγον ἐπὶ τὸ γνώρισμα, καὶ
τῶν νουσημάτων, καὶ [90] τῶν ἀῤῥωστημά-
των, ἐν οἷσιν ἀληθὴς [91] ὑπόθεσις
ἐφάνη. Ἀμφὶ δὲ τῶν (ἄλλων) ἀῤ- 61
ῥωστημάτων εἰ λέγοιμι, μακρότερος μὲν
ὁ λόγος γένοιτο, ἂν ἀτρεκέστερος [92] δὲ οὐ-
δὲν ἧττον, οὐδὲ πιστότερος.

igitur hoc morbo corripiuntur, quandonam morbo & præsenti tempestate liberentur, ego enarrabo. Quum laboribus exercitatum corpus incaluerit, incalescit etiam sanguis; sanguis autem calefactus flatus quoque calefacit. Ii vero calefacti dissolvuntur, & sanguinem coactum simul dissolvunt, partimque cum spiritu, partim cum pituita foras prodeunt. At ubi deferbuit spuma, & sanguis conquievit, tranquillitasque in corpore oborta est, morbus cessat. Horum igitur sane omnium (morborum) multis modis flatus causæ esse videntur; cætera vero omnia vel adjuvantis, vel consequentis causæ rationem habere. Hæc vero esse morborum causa nobis est demonstrata, quod me declaraturum receperam. Spiritum autem cum in aliis rebus, tum vel maxime in animantium corporibus plurimum posse demonstravi. Orationem vero ad morborum & ægritudinum cognitionem perduxi, in quibus hoc argumentum verum esse apparuit. Quod si reliquas ægritudines oratione persequi vellim, prolixior sane foret oratio, nihilo tamen minus aut veritatis aut fidei habitura.

ΙΠΠΟ-



VARIÆ LECTIONES.

86 Διαθερμανθεῖσαι, *percalefacti* legunt MSC. Reg. membr.

87 Γενομένου Servin. ex MSC.

88 Membranæ Reg. πάντων τούτων τῶν νουσημάτων legunt, quam lectionem probamus, & pro διὰ, δὴ. Editi codices διὰ πάντων τούτων, *horum igitur omnium* habent, omisso νουσημάτων *morborum*.

89 Τῶν νουσημάτων φράσαι [illegible] legunt MSC. Reg.

90 Καὶ τῶν ὑποδειγμάτων legunt quædam exempla, quam lectionem notat Zuingerus.

91 Ἡ ὑπόθεσις ex MSC. leg. Serv.

92 Ἀτρεκέστερος δὲ οὐδὲν ἂν εἴη, οὐδὲ πιστότερος, *ut nihilo majorem aut veritatem, aut fidem habitura sit oratio.* Legunt exempl. Reg.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE MORBO SACRO LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩΙ ΒΙΒΛΙΩΙ.

Ἱερῆς νούσου ἐξήγησις, ὄνομα, φύσις, ὑποκείμενον, τόπος, αἰτίαι, εἰσβολὴ, συμπτώματα, σημεῖα, ἴασις, καὶ πολλὰ τὰ προβλήματα συγγράφονται.

ARGUMENTUM LIBRI.

Sacri morbi explicatio, nomen, natura, ſubjectum, ſedes, cauſæ, inſultus, ſymptomata, ſigna, curatio, ac multa problemata deſcribuntur.

Basil. Lat. III. 345. pag. 172. — Foesius Sect. III. 84. 301. — Basil. Græc. pag. 122.

CAPUT I.

Sacrum morbum cæteris morbis neque diviniorem, neque ſacratiorem eſſe; idque nomen tum ab imperitia & admiratione, tum a magorum, expiatorum, circulatorum & oſtentatorum ficta pietate ortum habuiſſe.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὴν ἱερὴν νοῦσον οὐδὲ τῶν ἄλλων θειοτέρην εἶναι νούσων, οὐδὲ ἱερωτέρην· καὶ τοῦτο τοὔνομα ὑπὸ τῆς ἀπειρίας τε, καὶ θαυμασιότητος γεγένεσθαι, ἔτι καὶ ὑπὸ τῆς μάγων τε καὶ καθαρτῶν, ἀγυρτῶν, καὶ ἀλαζόνων προσποιήτης θεοσεβείας.



DE Morbo, quem ſacrum dicunt, ſic ſe res habet. Nihil quicquam aliis morbis divinus aut ſacratius eſſe mihi videtur; ſed eandem, ex qua reliqui morbi oriuntur, naturam habet. Homines vero ex imperitia & admiratione ei naturam & cauſam divinam eſſe cenſuerunt, quod nulla in re reliquis morbis ſit ſimilis.



1 ΠΕΡΙ " μὲν τῆς ἱερῆς νούσου καλεομένης, ὧδ' ἔχει. Οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων, οὐδὲ ἱερωτέρη· [1] ἀλλὰ φύσιν μὲν ἔχειν, ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίγνεται. Φύσιν δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖον εἶναι, ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισι. " [2] Καὶ

VARIÆ LECTIONES.

■ *Præſens liber, etiamſi aliquid incompta antiquitatis ſapiat, doctrinam tamen continet Aſclepiadum ſchola dogmatibus conſentientem, ut merito inter Hippocratis opera adnumeratus fuerit: imo Galenus Hipp. libr. cenſor acerrimus hunc librum citat Libr. I. Prognoſtic. & com. in VI. Epid. tanquam Hippocratis dogmatibus refertum. Sunt alii, quibus placeat Philotini eſſe, ſub cujus titulo in antiquis nonnullis manuſcriptis codicibus invenitur. Cal. Aurelianus eum tanquam Hippocratis germanum citat. Qui vero cenſuram vulgatis græcis propoſuerint ex Galeni ſententia, quam tamen explicatam nuſpiam habemus, germanum Hipp. minime faciunt, quod neque Hippocratica ſententiarum gravitas, neque tractandi ratio in ipſo eluceat. Hiſce non obſtantibus Erotianus ejusdem, tanquam Hippocratis partus pluries meminit. De Morbo ſacro inſcribitur, quia de Epilepſia tractat, quam morbum Sacrum appellavit antiquitas.*

1 Ἀλλὰ φύσιν μὲν ἔχει, καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται· Φύσιν δὲ αὐτὴ καὶ πρόφασιν. Οἱ δ' ἄνθρωποι ἐνόμισαν θεῖόν τι πρῆγμα ὑπὸ ἀπειρίης. Imp. MSG. N. IV. id eſt: *Sed naturam quidem habet, ac reliqui morbi, unde proficiſcitur: naturam ipſe & cauſam habet: ſed homines præ inſcitia divinam rem eſſe arbitrati ſunt.*

" [2] Καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν, τὸ θεῖον αὐτῇ διασώζεται· κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ἰῶνται· ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν ἢ ἐπαοιδῇσιν. Εἰ δὲ διὰ τὸ θαυμάσιον, θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νουσήματα ἔσαι, καὶ οὐχὶ ἕν· ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια, οὐδὲ τερατώδεα, ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. Τοῦτο μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ, καὶ οἱ τριταῖοι, καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσόν μοι δοκέουσιν ἱεροὶ εἶναι, καὶ ὑπὸ Θεοῦ γίγνεσθαι ταύτης τῆς νούσου, κἂν οὐ θαυμάσιον ἔχωσι. Τοῦτο δὲ ὁρέω μαινομένους ἀνθρώπους, καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς προφάσιος ἐμφανέος, καὶ πολλά τε ἅμα καὶ ἄκαιρα ποιέοντας. Ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας· τοὺς δὲ καὶ πνιγομένους, τοὺς δὲ καὶ ἀναΐσσοντάς τε, καὶ φεύγοντας ἔξω, καὶ παραφρονέοντας, " μέχρις ἂν [3] ἐξεγειρέωνται· (3) ἔπειτα δὲ καὶ ὑγιέας ἐόντας, καὶ φρονέοντας, ὥσπερ [4] τὸ πρότερον. Ἐόντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀσθενέας· καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. Ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ, ὧν [5] περὶ ἑκάστου λέγειν, πολὺς ἂν εἴη λόγος. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νούσημα [6] ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι, οἷοι καὶ νῦν εἰσὶ μάγοι τε, καὶ καθάρται, καὶ ἀγύρται, " καὶ [7] ἀλαζόνες, (4) ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι, καὶ πλέον τὶ εἰδέναι. " Οὗτοι τοίνυν [8] παραμπεχόμενοι, (5) καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης, τὸ μὴ ἴσχειν ὅ, τι προσενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι ἔωσιν, οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι.

2 Et per consilii inopiam, quod (morbum) non cognoscunt, illi divinitatem asservant; at per facile parabilem curationis modum ei medentur: expiationibus enim aut incantationibus ab eo liberantur. Quod si propter admirationem divinus censeatur, multi morbi sacri erunt, & non unus; quemadmodum ego alios demonstrabo nihil minus admirabiles, neque minus prodigiosos, quos nemo sacros esse existimat. Primum enim febres quotidianæ, & tertianæ, & quartanæ nihil minus sacræ esse, neque minus quam hic morbus a Deo fieri mihi videntur, quamvis admirationem nullam habeant. Deinde vero insania laborantes homines, ac desipientes ex nulla manifesta causa, tum multa, tum simul intempestiva facere video. Vidi etiam multos in somno lugentes & vociferantes; quosdam etiam suffocari, quosdam exilire, & foras fu-
3 gere, ac desipere, quod ad expergiscantur; postea vero sanos esse, & ut antea resipiscere, eosque pallidos ac debiles: atque hæc non semel, sed sæpenumero. Aliique multi sunt & varii morbi, quorum quodque recensere, prolixa foret oratio. Mihi certe videntur, qui primi hunc morbum sacrum fecerunt, ejusce esse homines, quales nunc sunt Magi, & expiatores, & circulatores
4 ac ostentatores quidam, qui se valde pios esse, plurimumque scire simulant. Hi quippe divinitate imperitiam suam obve-
5 lantes & promoventes, quum nihil haberent, quod oblatum prodesset, ne prorsus ignari esse proderentur, sacram hanc esse affectionem pronunciarunt.

Variæ Lectiones.

2 Sic legunt omnia exemplaria. Calvus tamen ἀπειρίῃ legisse videtur, ut cognitionis imperitiam, aut inscitiam intelligat. Sed ἀπορίῃ & εὐπορίῃ inter se sunt opposita. ἀπορίη autem hic mentis & consilii inopiam significare videtur; ideoque ἀπειρίη *imperitia* rectius diceretur.

3 Ἐξεγείρωνται legunt Aldina exemplaria & Vaticana. Hunc locum subindicare mihi videtur Erotianus, cum ἀναΐσσοντος, *irruentis* exponit. ἀΐσσειν enim idem est, quod *irruere*.

4 Imper. Sambuc. & Fevr. καὶ pro τὸ substituunt. Ibidem Aldina & Vaticana exemplaria*, ἀλλὰ & πολλά ἐστι habent.

5 Ὡς περὶ ἑκάστου λέγειν legimus ex Imper. Sambuc. pro ὧν ἑκάστου.

6 Ἀφιερώσαντες αὐτοὶ τοιοῦτοι, Imper. Samb.

7 Ἀλαζὼν *ostentatorem* & *jactatorem* significat. Hesichio ὑπερήφανος, ψεύστης, ἢ ἐπὶ ἄλης ζῶν exponitur; *qui vagando victum quæritat*, hoc est ἀγύρτης, *aut circulator, vaniloquus aut impostor*. Quidam malunt deducere ab α. epitat. & λάζομαι, (*Sumo*) ut sic dicatur, qui sibi multum assumit, tribuitque. Xenoph. Præd. libr. II. ἀλαζόνας dici scribit de iis, qui se ditiores esse simulant, & magis strenuos, quam revera sint, & quæ polliceantur minime præstent. Suid. autem scribit, ἰδίως δὲ, ἀλαζόνας τοὺς ψεύστας ἐκάλουν, ἐπεὶ λέγειν ἐπαγγέλλονται, περὶ ὧν μὴ ἴσασιν, id est: *proprie autem* ἀλαζόνας *vocant mendaces, quia profitentur se dicturos de rebus, quas ignorant*.

8 Παραμπίσχομαι, idem quod παραμπίσχω aut περιαμπίσχω, *obvelo, obtego, obduco, involvo*. Apud Erotianum παραμπισχόμενοι exponitur, *contecti*. Ducitur autem παρὰ τὴν ἀμπεχόνην, quæ est integumentum.

CAPUT II.

Epilepsiæ curationem a Magis & expiatoribus institutam; prognosi, diæta & expiationibus (non autem medicamentis) perfici. Neque Deum morbi hujus auctorem, neque morbum sacrum esse prodit; propulsisque expiationibus & incantamentis, preces, templa, & sacrificia Deo digna probat.

ATque additis idoneis rationibus tutam sibi curationem proposuerunt, oblatis expiationibus & incantationibus, balneisque abstinere jubentes, & multis cibis ad hominum laborantium esum ineptis. Ac marinis quidem, mullo, melanuro, mugili, & anguilla: hi enim pisces præcipue periculosi sunt. Ex carnibus vero, caprina, cervina, suilla & canina; hæ namque carnes alvum maxime conturbant. Ex volucribus, gallo, turture, & otide, prætereaque his, quæ valentissimæ esse censentur. Ex oleribus autem, mentha, allio, & cæpa: nihil enim acre infirmo conducit. Vestimentum etiam nigrum haud induere (præceperunt;) niger enim color lethalis: neque in pelle caprina decumbere, neque eam gestare; neque pedem pedi, neque manum manui superimponere: hæc enim omnia (curationis) impedimenta esse. Quæ omnia divinitatis gratia addunt, velut amplius quiddam scientes, & alias causas proferentes, quo si convalescat (æger,) eorum gloriæ & solertiæ attribuatur; sin vero moriatur, in tuto positæ sint ipsorum defensiones, & occasionem dicendi habeant, se non in causa, sed Deos esse: neque enim medicamentum aliquod edendum aut bibendum exhibuerunt; neque balneis excoxerunt, ut in causa esse videantur. Ego vero censeo Libycorum mediterraneam regionem incolentium, neminem sanum esse, quod caprinis pellibus & carnibus utantur, quum neque stratum, neque vestimentum, neque calceamentum aliud habeant, quod non sit ca-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὴν ἐπιλεψίας θεραπείαν ὑπὸ τῶν μάγων τε καὶ καθαρτῶν τεταγμένην, τῇ προγνώσει τε καὶ διαίτῃ, καὶ τοῖς καθαρμοῖς καταπράττεσθαι. Μήτε τὸν Θεὸν τοῦ νοσήματος ἐκείνου ἄιτιον· μήτε ἱερὴν νοῦσον εἶναι δηλοῖ· τῶν δὲ καθαρμῶν τε καὶ ἐπαοιδῶν ἀτεχμένων, τὰς εὐχάς τε καὶ ἱκεσίας, καὶ θυσίας, καὶ τὰ ἱερὰ δοκιμάζει τοῦ Θεοῦ ἄξια.

ΚΑΙ λόγους ἐπιλέξαντες ἐπιτηδείους, τὴν
ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑωυτοῖσι, καθαρμοὺς προσφέροντες καὶ
ἐπαοιδὰς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες, καὶ ἐδεσμάτων πολλῶν, καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν. Θαλασσίων μὲν, τρίγλης, καὶ μελανούρου, κε-
6 στρέος, ἐγχέλυος· οὗτοι γὰρ οἱ ἰχθύες
εἰσὶν ἐπικαιρότατοι. Κρεῶν δὲ, αἰγείου, καὶ
7 ἐλαφείου, καὶ χοιρείων, καὶ κυνός· ταῦ-
τα γὰρ κρεῶν [9] ταρακτικώτατά ἐστι τῆς
κοιλίης. Ὀρνίθων δὲ, ἀλεκτρυόνος, καὶ
8 τρυγόνος, [10] ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι. λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομμύου· δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει. Ἱμάτιον δὲ μέλαν μὴ ἔχειν· θανατῶδες γὰρ τὸ μέλαν· μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι, μηδὲ φορέειν, μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρί· ταῦτα γὰρ πάντα, κωλύματα εἶναι. Ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες, καὶ ἄλλας προφάσιας προλέγοντες, ὅκως εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης· εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι, καὶ ἔχοιεν πρόφασιν, ὡς [11] οὐκ αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδὲν· οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιον εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων, οὐδένα ὑγιαίνειν, [12] ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται, καὶ κρέασι αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσι οὔτε στρῶμα, οὔτε ἱμάτιον, οὔτε ὑπόδημα, ὅ, τι μὴ αἴγειόν ἐστιν.

Οὐ

VARIÆ LECTIONES.

9 Τερατικώτατα legunt Aldina, & Medicea exemplaria: & asteriscum apponunt, vitii notam, hanc fortassis ob causam istam particulam omisit Calvus, quod vitiata in suis codicibus inveniretur.

10 Ὀτίδος legit Galenus in Exegesi, & τοῦ ὀρνέου aviculam exponit, scribitque ab Aristotele ὠτίδα dici: Xenophon in primo Cyri expeditionis ὀτίδα per o. scribit. Utramque lectionem agnoscit Erotianus; sed apud eum vitiose ὀτίδα καὶ ὠτίδας scribitur, pro ὀτίδος καὶ ὠτίδος. vid. Foes. in Oecon. voce Ὀτίδες. & Aldrov. lib. XIII. Ornith. c. 12.

11 Οὐδὲν, deleto οὐκ Imper. Sambuc. οὐκέτι Codex Mediceus habet.

12 Ὅτι ἐπ' αἰγείοισι δέρμασι κατακέονται Imp. Samb. aliter & male habebat Aldus. κατακέονται & χρῶνται desunt in Codice Mediceo, qui pro ἐπεὶ οὐκ ἔχουσι legit ἀνάγκη οὐκ ἔχουσι.

9 Οὐ γάρ ἐστιν αὐτοῖς " ἄλλο[13] πρόβατον οὐ-
δὲν, ἢ αἶγες καὶ βόες. Εἰ δὲ ταῦτα προσ-
10 φερόμενα καὶ ἐσθιόμενα "[14] τὴν νοῦσον
αὔξει, καὶ μὴ ἐσθιόμενα ἰῆται, οὐκ ἔστιν ἄρα
ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ καθαρμοὶ ὠ-
φελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά
45 τέ καὶ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζε-
ται ἡ δύναμις. Οὕτως οὖν ἔμοιγε δοκέουσιν
οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι
ταῦτα τὰ νουσήματα, οὔτε ἱερὰ νομίζειν εἶ-
ναι, οὔτε θεῖα. Ὅκου γὰρ ὑπὸ καθαρμῶν
τοιούτων μετάστατα γίνεται, καὶ ὑπὸ θερα-
πείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τε-
χνημάτων ὁμοίων τουτοισιν ἀπογίνεσθαι τοῖσ-
ιν ἀνθρώποισι, καὶ προσπίπτειν; ὥστε μη-
κέτι τὸ Θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώ-
πινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ
123 μαγεύων ἐπάγειν τοιοῦτον πάθος, οὗτος
κἂν ἐπάγῃ ἕτερα τεχνησάμενος· πάντως
κἂν τούτῳ τῷ λόγῳ τὸ Θεῖον[15] ἀπόλυε-
ται. Τοιαῦτα λέγοντες καὶ μεμηχανευ-
μένοι προσποιέονται[16] πλέον τι εἰδέναι, καὶ
ἀνθρώπους ἐξαπατέουσι, προστιθέμενοι τού-
τοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅτε
πουλὺ αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφή-
κει. καὶ τὸ δαιμόνιον. Καί τοι ἔμοιγε οὐ πε-
5 ρὶ[17] εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέ-
εσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης
μᾶλλον, καὶ ὡς οἱ Θεοὶ οὐκ εἰσί· τό, τε
εὐσεβὲς καὶ Θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν
11 ἐστιν, ὡς ἐγὼ διδάξω. Εἰ γὰρ[18] σελήνην
τε καθαιρεῖν, καὶ ἥλιον ἀφανίζειν, χειμῶ-
νά τε καὶ εὐδίην ποιέειν, καὶ ὄμβρους, καὶ
αὐχμοὺς, καὶ θάλασσαν ἄφορον, καὶ γῆν, καὶ
τἄλλα τὰ τοιουτότροπα πάντα ἐπιδέχονται
ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων, εἴτε καὶ ἐξ
ἄλλης τινὸς γνώμης, ἢ μελέτης φασὶν οἷοί
10 τε εἶναι, οἱ ταῦτα ἐπιτηδεύοντες, δυσσε-
βέειν ἔμοιγε δοκέουσι, καὶ Θεοὺς οὔτε εἶναι
νομίζειν, οὔτε ὄντας ἰσχύειν οὐδέν· οὔτε
12 εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων " ποιέον-
τας. Ὧν[19] ἕνεκά γε, πῶς οὐ δεινοὶ ἄρ'
αὐτοῖσίν εἰσιν; εἰ γὰρ ἄνθρωπος μαγεύων
τε καὶ θύων, σελήνην τε καθαιρήσει, καὶ ἥ-
λιον ἀφανίσει, καὶ χειμῶνα καὶ εὐδίην ποιή-
σει, οὐκ ἂν ἔγωγέ τι Θεῖον νομίσαιμι τού-
των εἶναι, ἀλλ' ἀνθρώπινον· εἰ δὴ τοῦ

prinum. Non enim alia ulla ipsis sunt pecora, quam capræ & boves. Si autem hæc oblata & comesta morbum augent, & non comesta medentur, nullius sane Deus auctor est, neque expiationes juvant, sed quæ eduntur, medentur & lædunt, numinis vero vis evanescit. Sic igitur mihi videntur hi, qui hoc modo hos morbos curare aggrediuntur, neque sacros ipsos esse, neque divinos arbitrari. Ubi enim talibus expiationibus, ac tali curatione tollantur, quid vetat etiam aliis artibus similibus illarum, & discedere ab hominibus & accedere? Quare non Deus amplius auctor est, sed aliquid humanum. Quisquis enim lustrationibus, & magicis incantamentis talem affectionem abigere valuerit, is etiam aliis artibus depellet; eaque ratione divina vis penitus avertitur. Talia dicentes ac excogitantes, amplius quid se scire simulant, & homines decipiunt, proponentes his lustrationes, ac purificationes; quum multa ipsorum verba ad Deum ac numen referantur. Atqui mihi sane non de pietate verba facere videntur, ut ipsi putant, sed potius de impietate, & quod Dei non sunt: pietasque, ac divinitas ipsorum impia est ac scelesta, quemadmodum ego docebo. Si enim lunam deducere, & solem obscurare, tempestatemque, ac serenitatem inducere, & pluvias, ac siccitates, & mare sterile, ac terram facere, & alia hujuscemodi omnia se scire profitentur, sive ex sacrorum mysteriis, sive ex alia quadam professione, aut meditatione hanc potentiam jactent; qui talia studio habent, impii sane mihi esse videntur, neque Deos esse putare; neque si sint, quicquam posse, neque ullum extremum malum facientes coërcere. Cujus rei gratia, quomodo non ipsis infesti sint? Si enim homo incantamentis, ac sacrificiis utens, & lunam detrahet; & solem obscurabit, & tempestatem, ac serenitatem faciet, non utique ego horum quicquam divinum esse censuerim, sed humanum; si sane divinitatis potentia ab humana voluntate superetur, & in servitutem redacta sit. Fortassis autem hæc

 non

Variæ Lectiones.

13 Πρόβατον non προβάτιον hic cum Galeno legimus Com. I. in lib. de Articulis, qua notione omne pecudum genus intellexisse videtur Hippocrates. Peculiariter & κατ' ἐξοχὴν ovem significat. Προβάτιον autem *ovicula*. Aristoph. in Plut. exponitur.

14 Τίκτει τὲ καὶ αὔξει legunt exemplaria Vaticana. Lindenus pro τίκτει restituit νίκτει.

15 Ἀπολύεται Imp. Samb. atque ita legimus. Editi codd. ἀπόλλυται *deperditur* habent.

16 Πλέον delet Imp. Samb. & pro καθαρότητας, Codex Med. καθαρότητος habet.

17 Εὐσεβείης μᾶλλον δοκέουσι Aldus; sed μᾶλλον *magis* delet Imperial. Samb. quam lectionem secuti sumus.

18 Καθαιρεῖν σελήνην est *Lunam dejicere*, deturbare, cœlo deducere, ut loquitur Virgil. Bucol. Eclog. VIII. v. 69. hoc est, deorsum elicere. Lucianus in Dialogo Amoris & Veneris, τὴν σελήνην δὲ καθαιρεῖν ἐκ τοῦ οὐρανοῦ, *Lunam cœlo deducis*. Est autem Lunam cœlo deducere, ejus lumen abolere, quod magicis incantationibus se facturas pollicentur Sagæ, de quibus eamdem phrasim usurpat Plutarchus in connubialibus Præcept. ἂν δέ τις ἐπαγγέλληται καταιρεῖν τὴν σελήνην. Vid. Foes. in Oecon.

19 Ἕνεκά γε delet Imper. Sambuc. & Cornar. & substituunt δὲ τάδε. Hic omnia exemplaria ποιέοντες ad superiora referunt. Sed ποιέοντας legit Foesius, & hanc Lectionem prætulimus. Huic loco asteriscum apponunt Ald. exemplaria. Vaticanæ membranæ post ποιέοντες distinguunt, ut & reliqua exemplaria; deinde ἂν ἕνεκά γε legunt, quam lectionem sequitur Codex Medic.

non ita se habent, sed homines, victus indigi, multa & varia moliuntur, & versute agunt, tum in alia omnia, tum in hunc morbum, in singulis affectionis speciebus causam Deo adscribentes: non enim semel, sed multoties eadem ab ipsis commemorantur. Si enim capram imitentur, si balatum edant, si quæ dextris partibus convellantur, Matrem deorum causam esse ajunt. Si vero acutiorem & vehementiorem sonum emittat (æger,) hunc equo assimilant, & Neptunum auctorem esse dicunt. Si vero etiam aliquid stercoris emittat, quod sæpe quibusdam contingit præ morbo coactis, Hecates Enodiæ appellatio additur. Si autem tenuibus & crebrius dejiciat, velut aviculæ, Apollo Nomius. Si vero spumam ex ore demittat, ac pedibus calcitret, Mars causam habet. Quicunque porro pavores noctu ingruunt, timores, deliria, proruptiones a lecto, terriculamenta, ac fugæ foras, Hecates insidias esse dicunt, & heroum insultus, expiamentisque utuntur ac incantamentis, & scelestissimum ac impiissimum, meo sane judicio, faciunt numen. Expiant enim morbo correptos, sanguine & aliis similibus sceleribus inquinatos, aut facinorosos, aut ab hominibus veneno infectos, aut qui scelestum aliquod facinus perpetrarunt, quos contraria his facere oportebat, sacrificare, ac precari, & ad templa ferentes, Diis supplicare. Nunc vero horum quidem nihil faciunt; verum expiant, & partim expiationes in terra occultant, partim in mare projiciunt, & partim ad montes deferunt, ubi nemo attingat, neque conculcet. Oportebat autem ea ad templa deferre, ac Deo reddere; si quidem Deus est auctor. Non tamen ego puto hominis corpus a Deo inquinari, sordidissimum a purissimo; verum etiamsi con-

Θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι, βίου δεόμενοι, πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν, ἔς τε τ' ἄλλα πάντα, καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ εἴδει τοῦ πάθεος Θεῷ τὴν αἰτίην προστιθέντες· οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταῦτα [20] μέμνηνται.
13 Κἢν μὲν γὰρ αἶγα μιμῶνται, " κἢν [21] βληχῶνται, κἢν τὰ δεξιὰ σπῶνται, μητέρα Θεῶν φασὶν αἰτίην εἶναι. Ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. Ἢν δὲ καὶ τῆς κόπρου τι παρίῃ, ὃ πολλάκις τισὶ
14 γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, [22] " Ἐ-
15 νοδίου πρόσκειται ἡ προσωνυμίη. " Ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων Νόμιος. Ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ, καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται, καὶ φόβοι, καὶ παράνοιαι, καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης, καὶ φόβητρα, καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβουλὰς, καὶ ἡρώων ἐφόδους, καθαρμοῖσί τε χρέονται
16 καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν γε " καὶ [23] ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει τὸ Θεῖον. Καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσιν ἄλλοισι τοιού-
17 τοισι μιάσμασιν [24] ἔχοντας, " ἢ ἀλάστορας, ἢ [25] πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον [26] εἰργασμένους, οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν. Θύειν τε καὶ εὔχεσθαι, καὶ εἰς τὰ ἱερὰ φέροντας, ἱκετεύειν τοὺς Θεούς. Νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν· καθαίρουσι δὲ, καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι· τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι· τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπη μηδεὶς ἅψηται, μηδὲ ἐπιβήσηται. Τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας, τῷ Θεῷ ἀποδοῦναι, εἰ δὴ Θεός γε ἐστὶν αἴτιος. Οὐ μέν τοι ἔγωγε ἀξιῶ ὑπὸ Θεοῦ, ἀνθρώ-
18 που σῶμα μιαίνεσθαι, " τὸ [27] ὑποκηρότατον ὑπὸ τοῦ ἁγνοτάτου· ἀλλὰ κἢν τυγχάνῃ

VARIÆ LECTIONES.

20 Μεμίηνται Imper. Samb.

21 Βρύχωνται habet Ald. quod exponit, Imper. Sambuc. βαρὺ καὶ ἀσαφὲς, καὶ ἀδιάρθρωτον φθέγγωνται. Βληχῶνται legisse videtur Cornar. pro βρύχωνται, quam lectionem secuti sumus; ut sit, *balatum* edant, quod βληχᾶσθαι, sit ovium, ut apud Aristophanem in Pluto, βληχώμενά τε προβατίων αἰγῶν τε κιναβρώντων μέλη. Hinc Eustath. a βῆ derivat βληχὴ, includens ει & nomen ἦχος, ut βληχὴ sit ὁ τοῦ βῆ ἦχος. Verum Aristophanes in Vespis ad puerulorum vagitus transtulit, τὰ δὲ παιδάρια συγκύπτονθ' ἅμα βληχᾶται. Alioqui sane βρυχῶνται legendum esset; est & βρυχανᾶσθαι Nicandro *ejulare*, ut Schol. exponit. Hesychio quoque βρυχανώμενοι, φωνοῦντες ἢ χασμώμενοι explicantur, *vocem edentes, aut oscitantes.* Vid. Foes. Oecon.

22 Ἐν ὁδίης οὐ πρόσκειται vitiose legunt Aldina exemplaria: forte vero ἐνοδίης πρόσκειται ἡ προσωνυμίη legi potest, quod Diana & Proserpina ἐνοδία dicta sit; de his plura vid. apud Foes. in Oecon. ἐνοδίης Cod. Med.

23 Ἀντίθεον pro ἀθεώτατον, legisse videtur Erotianus. ἀντίθεον autem velut Deo oppositum & adversarium intelligit, velut ἀντίας θεοῦ; etsi τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον *hominem, quem damni alieni auctorem, futurum suspicamur*, exponit Erotianus. Vid. Foes. Oeconom.

24 Ἐχομένους Imp. Cornar. ἄλαστα appellatur Dæmon infestus, qui mala ἄλαστα infert. Eustath. vero *Jovem* ἀλάστορα dici scribit, vel quod vindex sit iis, qui mala ἄλαστα passi sunt: vel quod eum latere nemo possit, vel quod ipse sit infestus dæmon. Dicitur enim de homine pernicioso & pestilenti, qui quasi pestis est, & internecio aliorum. Dem. pro cor. Pausan. in Achaicis. Galeno in Exegesi ἀλάστορες exponuntur αὐτοί τε οἱ ἄνθρωποι, οἱ τὰ ἀλιτήρια ἐργασάμενοι, καὶ οἱ τιμωροὶ αὐτῶν δαίμονες, id est: *in ipsi homines, qui talia perpetrant, ob quæ cruciari mereantur, & vindices Dei, qui eos persequuntur.*

25 Sic & Imperial. Sambucus. πεφραγμένος Aldina legunt exemplaria.

26 Εἰργασμένους, οὓς Imp. Samb. Post φέροντας usque ad τῷ Θεῷ ἀποδοῦναι exclusive, omnia desunt in Cod. Med.

27 pro ὑποκηρότατον, Codex Med. ἐπικηρότατον.

χάνῃ ὑπὸ ἑτέρου μεμιασμένον, ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ Θεοῦ καθαίρεσθαι, καὶ ἁγνίζεσθαι μᾶλλον, ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα, τὸ Θεῖόν ἐστι, τὸ [28] καθαῖρον καὶ ἁγνίζον, καὶ ἔρυμα γενόμενον ἡμῖν· αὐτοί τε ὅρους τοῖσι Θεοῖσι τῶν ἱερῶν, καὶ τῶν 19 τεμενέων ἀποδείκνυμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνοι, εἰ μὴ [29] ἁγνεύοι, εἰσιόντες τε περιρραινόμεθα, οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀπαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.

ΚΕΦΑΛΑΙΟΝ γ'.

21 Ἡ τῆς ἱερῆς νούσου φύσις ἡ γένεσις· καὶ αἰτίαι ὡς τῶν λοιπῶν νουσημάτων, ὁ χυμὸς φλεγματώδης, οὐ χολώδης, καὶ ὁ ἐγκέφαλος, καὶ τὸ γένος· ἡ τῶν φλεβῶν ἀνάδοσις· ἀκρατὲς τὸ μέρος, καὶ ναρκή.

ΤΟ δὲ νούσημα τοῦτο, οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν· ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τ' ἄλλα νουσήματα· καὶ πρόφασιν, ὅθεν ἕκαστα γίνεται. Φύσιν δὲ τοῦτο καὶ πρόφασιν, ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι, ἀφ' ὅτου καὶ τἄλλα πάντα· καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅτι [30] ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἔῃ, ὥς τε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν προσφερομένων. Ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα κατὰ γένος. Εἰ γὰρ ἐκ τοῦ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ ἐκ σπληνώδεος σπληνώδης· τί κωλύει, ὅτου πατὴρ καὶ μήτηρ εἴχετο τούτῳ τῷ νουσήματι, τούτῳ [31] καὶ ἐκ τῶν ἐγγόνων ἔχεσθαι τινά; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος, 20 [32] ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρὸς ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον δὲ μέγα τεκμήριον, ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νουσημάτων· τοῖσι γὰρ φλεγματώδεσι φύσει γίνεται· τοῖσι δὲ χολώδεσιν, οὐ προσπίπτει. Καίτοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν
124 ἅπασιν ὁμοίως ἔδει γίνεσθαι τὴν νοῦσον ταύτην· καὶ μὴ διακρίνειν, μήτε χολώδεα, μήτε φλεγματώδεα. Ἀλλὰ γὰρ αὐτοῖσιν αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσ-

tingat ab alio inquinari, aut quid perpeti, cupiet utique a Deo purgari, ac purificari magis, quam inquinari. Deus itaque est, qui maxima ac sceleratissima peccata lustrat & expiat, refugium factus nobis; ipsique terminos templorum ac delubrorum Diis designamus, ut nullus, qui non purus sit, eos transcendat; & ingressi respergimur, non ut inquinemur: sed si quod etiam prius scelus habeamus, purificemur. Ac de expiationibus quidem sic se res habere mihi videtur.

CAPUT III.

Sacri morbi natura seu ortus: causæ ut reliquorum morborum. Humor pituitosus, non biliosus, cerebrum, genus: venarum distributio; partis impotentia, & torpor.

HIc vero morbus nulla re divinior reliquis mihi esse videtur; sed naturam habet, quam etiam alii morbi; & causam, unde singuli gignuntur. Naturam autem illius & causam, ab eodem divinam fieri, a quo & cætera omnia; & sanabilis esse mihi videtur nihilominus quam alii, nisi jam multo tempore invaluerit, ut fortior sit medicamentis, quæ adhibentur. Incipit autem velut etiam alii morbi secundum genus. Si enim ex pituitoso, pituitosus, ex bilioso, biliosus gignitur; & ex tabido, tabidus, & ex lienoso, lienosus: quid prohibet, ut cujus pater & mater hoc morbo correpti fuerint, eo etiam (posterorum) ac nepotum aliquis corripiatur? Quum nempe genitura ab omnibus corporis partibus procedat, a sanis sana, a morbosis morbosa. Aliud porro signum magnum est, quod nihilo divinior reliquis sit morbis; pituitosis enim natura oboritur; biliosis vero non accidit. Atqui si divinior sit reliquis, similiter omnibus morbum hunc incidere oporteret; neque inter biliosos ac pituitosos discrimen facere. Sed enim ipsis cerebrum, hujus affectionis, ut

 etiam

Variæ Lectiones.

28 Καθαῖρον ἁγνίζον legit Imper. Samb. deleto καί. vitiose ἔρημα legunt ibidem Aldina exemplaria. ἔρυμα autem pro ἔρμα legendum, quod *fulcrum* & *stabilimentum*; & ἀσφάλισμα aut ἀσφάλεια exponitur Suidæ.

29 Sic & Imperial. Samb. ἁγνεύει Aldus. Ibidem ὑπερβαίνοι ex MSC. legit Servinus & εἰ μὴ pro ἢ μή, quam lectionem amplectimur. Ibidem pro ἀλλ' ἔτι Cod. Med. ἀλλ' ἔτι habet.

30 Sic & Imp. Samb. ἂν non habebat Aldus.

31 Καὶ ἐκ τῶν ἐγγόνων ἔχεσθαι τινά legit Imp. Samb. quæ lectio nobis probatur. ἐκ desideratur in Asul. exemplaribus.

32 Exemplaria Vaticana & Fevreus hunc locum ita legunt: ἢν μὲν οὖν ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρός· εἰ δὲ ἀπό τε τῶν νοσερῶν, νοσερός. Codex vero Mediceus legit: ἢν μὲν οὖν ἀπὸ ὑγιηρῶν ὑγιηρός· εἰ δ' ἐκ νοσερῶν, νοσερός.

etiam aliorum maximorum morborum, causa est. Quo vero modo, & ex qua causa fiat, ego manifeste docebo. Cerebrum hominis, quemadmodum etiam cæteris omnibus animalibus, duplex est: medium autem ipsius dividit membrana tenuis. Quapropter non semper eadem capitis pars dolet; sed sigillatim alterutra, aliquando vero totum (caput.) Sed & venæ in ipsum tendunt ex universo corpore, multæ & tenues; duæ vero crassæ, altera ab hepate, altera a liene. Et quæ quidem ab hepate venit, hoc modo se habet. Altera quidem venæ pars deorsum tendit, per partes ad dexteram, juxta ipsum renem ac lumbum, ad internam femoris partem, & pertingit ad pedem, & vocatur vena cava. Altera vero sursum tendit per venas dextras, ac pulmonem; distribuitur autem & in cor, & in brachium dextrum. Reliquum vero sursum fertur per claviculam in dextram cervicis partem, (&) ad ipsius cutem, ita ut conspicua sit. Juxta aurem vero occultatur, atque hic finditur. Et crassissima quidem, ac maxima, & valde cava ipsius pars in cerebrum desinit; alia vero pars in aurem dextram, quæ venula tenuis est; alia autem in oculum dextrum; alia in ipsum nasum. Atque sic quidem venæ ab hepate se habent. Tendit autem & a liene vena in sinistra sursum ac deorsum, velut ab hepate; verum tenuior & imbecillior. In has autem venas etiam majorem spiritus copiam inducimus; hæ enim corporis nostri spiracula sunt, quæ aërem in seipsas trahunt, & in reliquum corpus, ac venulas derivant, refrigerantque, ac rursus emittunt: non enim possibile est spiritum consistere, sed sursum meat ac deorsum. Si enim alicubi constiterit, ac interceptus fuerit; impotens redditur illa pars, ubi constiterit. Cujus rei signum hoc est: quum enim desidenti, aut decumbenti venulæ compressæ fuerint, ut spiritus a vena non permeet, statim torpor occupat. Ac de venis quidem reliquis sic se habet.

περ καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων. Ὁτέῳ δὲ τρόπῳ, καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. Ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου, ἐστὶ διπλόος, ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασι· τὸ δὲ μέσον αὐτοῦ διαιρέει μήνιγξ λεπτή. Διότι οὐκ ἀεὶ κατὰ τὸ αὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον· ὁτὲ δὲ ἅπασα. Καὶ φλέβες τε εἰς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταί· δύο δὲ παχεῖαι, ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ἡ δὲ ἀπὸ τοῦ σπληνός. Καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ὧδ' ἔχει. Τὸ μέντοι τῆς φλεβὸς κάτω τείνει, διὰ τοῦ ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν [33] ψύην, ἐς τὸ ἐντὸς τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ· ἡ δὲ ἑτέρη, ἄνω τείνει διὰ φλεβῶν τῶν δεξιῶν, καὶ τοῦ πνεύμονος. Ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην, καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν. Τὸ δὲ λοιπὸν, ἄνω φέρει διὰ τῆς κληΐδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, (καὶ) αὐτοῦ τὸ δέρμα, ὥστε κατάδηλός ἐστι. Παρὰ δὲ τὸ οὖς κρύπτεται, καὶ ἐνταῦθα σχίζεται. Καὶ τὸ μὲν παχύτατον, καὶ μέγιστον, καὶ κοιλότατον, ἐς τὸν ἐγκέφαλον τελευτᾷ· τὸ δὲ ἐς τὸ οὖς τὸ δεξιὸν, φλέβιον λεπτόν· τὸ δὲ ἐς τὸν ὀφθαλμὸν τὸν δεξιόν· τὸ δὲ ἐς τὸν μυκτῆρα. Ἀπὸ μὲν τοῦ ἥπατος, οὕτως ἔχει τῶν φλεβῶν. Διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλὲψ, εἰς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ καὶ ἀπὸ τοῦ ἥπατος· λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη. Κατὰ ταύτας δὲ τὰς φλέβας καὶ [34] ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος· αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος, τὸν ἠέρα εἰς σφᾶς ἕλκουσαι, καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσαι, καὶ κατὰ τὰ φλέβια, καὶ ἀναψύχουσι, καὶ πάλιν ἀφιᾶσιν· οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει ἄνω καὶ κάτω. Ἢν γὰρ στῇ που, καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος, [35] καθ' ὃ ἂν στῇ. Τεκμήριον δὲ, ὁκόταν γὰρ καθημένῳ, ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι ἀπὸ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. Περὶ μὲν τῶν φλεβῶν τῶν λοιπῶν, οὕτως ἔχει.

ΚΕΦΑ-

Variæ Lectiones.

33 ψόαν pro ψύην legit cod. Medic. ibidem legunt exemplaria vulgata, ἐς αὐτὸ τὸ δέρμα; verum prior lectio ex Imp. Sambuco probatur.

34 Ἐσαγόμεθα ex MSC. legit Servinus, ἡμέων ibidem legit Cod. Med. pro ἡμῖν.

35 Pro ὅπου, καθ' ὃ legit Fevreus quod probamus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Πῶς ἡ ἐπιληψία τοῦ ἐμβρύου ἐν τῇ μήτρῃ ἐόντος φύηται, καὶ ἡ κεφαλὴ ὑγιεινὴ, ἢ νοσερὰ γένηται. Αἱ καθαρθέντος ἐμβρύου ὠφέλειαι, καὶ μὴ καθαρθέντος βλάβαι· καταῤῥοικαὶ τῶν ἀπὸ φλέγματος διαθέσεις, καὶ τὰ ἐπιληπτικὰ συμπτώματα, ἀφωνία, ἀφροσύνη, τῶν χειρῶν ἀκρατία, ὀφθαλμῶν διαστροφὴ, ἀφρὸς, πνὶξ, κόπρος, λάκτισις.

Ἡ δὲ νοῦσος αὕτη γίνεται τοῖσι μὲν φλεγματίησιν· τοῖσι δὲ χολώδεσιν, οὔ. Ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου ἔτι ἐν τῇ μήτρῃ ἐόντος· καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ τἄλλα μέρεα πρὶν γενέσθαι, ὁ ἐγκέφαλος. Ἐν ταύτῃ δὲ τῇ καθάρσει, ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ, καὶ μήτε πλεῖον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ, [36] οὗτος ὑγιεινοτάτην τὴν κεφαλὴν ἔχει. Ἢν δὲ πλείων ἀπὸ παντὸς τοῦ ἐγκεφάλου γένηται ἡ ἀπότηξις, νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξάμενος καὶ ἤχου πλέην, καὶ οὔτε ἥλιον, οὔτε ψῦχος ἀνέξεται. Ἢν δὲ ἀπὸ ἑνός τινος γένηται, ἢ ἀπὸ ὀφθαλμοῦ, ἢ οὔατος, ἢ φλὲψ τὶς συνισχνανθῇ, ἐκεῖνος κακοῦται οὕτως, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ. Ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. Καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν, καὶ ἐς τὰ οὔατα, καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα γένηται, καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης. Ἐνταῦθα γὰρ ἀφίει καὶ καθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐς τὴν μήτρην καθαρθῆναι· καὶ τὰ οὕτω καθαρθέντα, οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπιτοπολύ. Ὁκόσα δὲ καθαρά ἐστι, καὶ [37] μήθ' ἕλκος μηδὲν, μήτε μύξα, μήτε σίαλον προέρχεται μηδέν· μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τοῖσι τοιούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου. Ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥους, τὴν πορείην, παλμὸς ἐπιλαμβάνει, καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται. Ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πνεύμονα, ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα· αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι, πρὸς τῷ πνεύμονι, καὶ τῇ καρδίῃ πηδῶσι· καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα

CAPUT IV.

Quomodo epilepsia fœtui in utero, & caput sanum, ac ægrum oboriatur. Purgati fœtus in utero commoda, non purgati læsiones. Catarrhoicæ ex pituita affectiones, ac epilepsiæ symptomata, vocis suppressio, desipientia, manuum impotentia, oculorum distortio, spuma, suffocatio, stercus, calcitratio.

